αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ αὐτίκα τὸν ποταμὸν 4.20
he and with-all the other army at-once the river
διαβὰς εὐθὺ τῶν ἐναντίων ἐχώρει·
having-crossed straight the opponents went

4.21 οἱ δὲ Ῥωμαῖοι εὐθὺς ὑπηντίαζον. ἐπειδή τε ἀμφότεροι
the and Romans at-once went-to-meet(-them) when both both
ὁδῷ ἰόντες ἐγγυτέρω ἀλλήλων ἐγένοντο, Γότθος ἀνήρ,
by-road going nearer one-another came (a)-Goth man
Οὐάλαρις ὄνομα, μέγας τε τὸ σῶμα καὶ τὸ εἶδος
Valaris by-name great both the body and the appearance
φοβερὸς ἄγαν, ἔτι μέντοι δραστήριός τε καὶ ἀγαθὸς
fearsome very further however energetic both and good
τὰ πολέμια, τὸν ἵππον ἐξελάσας πρὸ τοῦ ἄλλου
in-the(-things) of-war the horse having-driven-out before the other
στρατοῦ ἐν μεταιχμίῳ ἔστη, τεθωρακισμένος τε καὶ
army in (the)-space-between stood having-put-on-a-breastplate both and
κράνος ἐν τῇ κεφαλῇ ἔχων, καὶ Ῥωμαίους ἅπαντας
(a)-helmet on the head having and Romans all
προὐκαλεῖτο, εἴ τίς οἱ βούλοιτο ἐς χεῖρας ἰέναι.
challenged if any(-one) him wished to hands to-go

4.22 οἱ μὲν οὖν ἄλλοι κατωρρωδηκότες ἡσυχῇ ἔμενον,
the indeed then others having-shrunk-in-fear quietly remained
Ἀρταβάζης δὲ αὐτῷ ἐς ἀγῶνα κατέστη μόνος.
Artabazes and with-him into contest set(-himself) alone

4.23 ἄμφω τοίνυν τὼ ἵππω κατ᾽ ἀλλήλοιν ἐλάσαντε, ἐπειδὴ
both therefore the two-horses against one-another having-driven when
ἄγχιστα ἵκοντο, τὰ δόρατα ὤθουν, Ἀρταβάζης δὲ
nearest they-came the spears thrust Artabazes and
προτερήσας ἔφθασε τὸν Οὐάλαριν ἐς πλευρὰν τὴν δεξιὰν
having-been-first anticipated — Valaris in (the)-side the right
παίσας.
having-struck

ὁ δὲ βάρβαρος καιρίαν τυπεὶς ὕπτιος ἐς τὴν γῆν 4.24
the and barbarian (a)-mortal(-blow) struck on-his-back to the ground
πεσεῖν ἔμελλεν, ἀλλά οἱ τὸ δόρυ ἐξόπισθεν ἐπὶ τὸ ἔδαφος
to-fall was-about but for-him the spear from-behind on the ground
ἐπὶ πέτρας τινὸς ἐρεισθὲν πεσεῖν αὐτὸν οὐδαμῇ εἴα.
on rock some having-been-propped to-fall him in-no-way allowed
ὁ δὲ Ἀρταβάζης ἐνέκειτο ἔτι μᾶλλον τὸ δόρυ ἐς 4.25
— and Artabazes pressed-on still more the spear into
τὰ τοῦ ἀνδρὸς ὠθῶν ἔγκατα. οὔπω γὰρ αὐτὸν ἤδη
the(-parts) of-the man bowels thrusting not-yet for him already
ἁλῶναι καιρίᾳ πληγῇ ὑπετόπαζεν.
to-have-been-caught by-(a)-mortal blow he-suspected
οὕτω τε ξυνέβη Οὐαλάριδος τὸ τοῦ δόρατος ἄκρον 4.26
thus both it-happened of-Valaris the of-the spear point
σιδήριον σχεδόν τι ὀρθὸν γεγενημένον τοῦ Ἀρταβάζου
iron nearly somewhat upright having-become the of-Artabazes
θώρακος ἅπτεσθαι, κατὰ βραχύ τε προϊὸν διελθεῖν μὲν
breastplate to-touch by little both advancing to-pass-through indeed
τὸν θώρακα ὅλον, ὀλισθῆσαν δὲ τοῦ δέρματος ἀμφὶ τὸν
the breastplate whole having-slipped and the skin about the
Ἀρταβάζου αὐχένα ψαῦσαι.
of-Artabazes neck to-graze
τύχῃ τέ τινι ἀρτηρίαν ἐνταῦθά πη οὖσαν ἐπίπροσθεν 4.27
by-chance and some (an)-artery there somewhere being forward
ἰὼν ὁ σίδηρος τέμνει, καὶ ῥύσις αὐτίκα πολλοῦ αἵματος
going the iron cuts and (a)-flow at-once of-much blood
ἦν.
there-was

4.28 αἴσθησις δὲ ὀδύνης οὐδεμία τῷ ἀνθρώπῳ ἐγίνετο,
perception and of-pain none to-the man came
ἀλλ᾽ αὐτὸς μὲν ἐς τὸ Ῥωμαίων στράτευμα τὸν ἵππον
but he indeed to the of-Romans army the horse
ἀπήλαυνεν, Οὐάλαρις δὲ νεκρὸς αὐτοῦ ἔπεσε.
drove-off Valaris and dead there fell

4.29 καὶ Ἀρταβάζης δέ, τοῦ αἵματος οὐκέτι λωφήσαντος,
and Artabazes too the blood no-longer having-abated
τρίτῃ ὕστερον ἡμέρᾳ ἐξ ἀνθρώπων ἠφάνιστο, Ῥωμαίοις
on-(the)-third later day from men had-vanished to-Romans
τε κατέσεισε τὴν πᾶσαν ἐλπίδα, ἐπεὶ καὶ τότε ἀπόμαχος
and shook-down the all hope since also then out-of-the-fight
ἐν τῇ ξυμβολῇ ταύτῃ γενόμενος οὐκ ἐπὶ μικροῖς τὰ
in the engagement this having-become not in small(-measure) the
πράγματα αὐτὸς ἔσφηλεν.
affairs he tripped-up

4.30 ὁ μὲν γὰρ ἔξω βελῶν γεγονὼς τοῦ τραύματος ἐπεμελεῖτο,
he indeed for outside of-missiles having-come of-the wound took-care-of
τὰ δὲ στρατεύματα ἄμφω ἐς χεῖρας ἦλθον.
the and armies both to hands came

4.31 καρτερᾶς δὲ γενομένης τῆς ξυμβολῆς οἱ τριακόσιοι
violent and having-become the engagement the three-hundred
βάρβαροι κατόπισθεν τοῦ Ῥωμαίων στρατοῦ ὁδῷ ἰόντες
barbarians behind the of-Romans army by-road going
ἐκ τοῦ αἰφνιδίου ἐφάνησαν, οὓς δὴ κατιδόντες Ῥωμαῖοι
out-of the sudden appeared whom indeed having-seen Romans
καὶ πολὺ πλῆθος εἶναι τῶν σφίσι μαχομένων οἰόμενοι
and great (a)-multitude to-be of-the(-ones) them fighting thinking
ἔς τε ὀρρωδίαν ἔπεσον καὶ αὐτίκα ἐς φυγὴν ὥρμηντο,
into both terror fell and at-once into flight rushed
ὥσπερ ἑκάστῳ δυνατὰ γέγονε.
as to-each possible became

φεύγοντάς τε οἱ βάρβαροι οὐδενὶ κόσμῳ Ῥωμαίους 4.32
fleeing both the barbarians in-no order Romans
ἔκτεινον, καὶ πολλοὺς μὲν αὐτῶν ζωγρήσαντες ἐν φυλακῇ
killed and many indeed of-them having-taken-alive in custody
εἶχον, τὰ δὲ σημεῖα ξύμπαντα ἔλαβον, ὅπερ οὔπω
held the and standards all took which-very never
πρότερον Ῥωμαίοις ξυνέπεσε. τῶν τε ἀρχόντων ὡς
before to-Romans befell of-the both commanders as
ἕκαστός πη ἐδύνατο ξὺν ὀλίγοις τισὶν ἔφευγε, καὶ τὰς
each somehow was-able with few some fled and the
πόλεις ὅπη ἔτυχον διασωθέντες ἐφύλασσον.
cities where they-happened having-escaped guarded
Χρόνῳ δὲ Τουτίλας οὐ πολλῷ ὕστερον στράτευμα ἐπί 5.1
in-time and Totila not much later army against
τε Ἰουστῖνον καὶ Φλωρεντίαν ἔπεμψεν, οἷς δὴ
both Justinus and Florentia sent over-whom indeed
ἄρχοντας Γότθων τοὺς μαχιμωτάτους ἐπέστησε, Βλέδαν καὶ
(as)-commanders of-Goths the most-warlike he-set Bledas and
Ῥουδέριχον καὶ Οὐλίαριν. οἵπερ ἐπειδὴ ἐς Φλωρεντίαν ἦλθον,
Roderic and Uliaris who-very when to Florentia came
ἐγκαθεζόμενοι ἀμφὶ τὸ τεῖχος ἐς πολιορκίαν καθίσταντο.
having-sat-down about the wall into siege settled
Ἰουστῖνος δὲ ξυνταραχθεὶς ἐπεὶ τῶν ἐπιτηδείων 5.2
Justinus and thrown-into-confusion since of-the provisions
ἐσκομισάμενος οὐδὲν ἔτυχεν, ἔπεμψεν ἐς Ῥάβενναν
having-brought-in nothing he-happened(-to-have) sent to Ravenna
πρὸς τοὺς τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντας, βοηθεῖν σφίσι
to the of-the of-Romans army commanders to-help them
κατὰ τάχος δεόμενος.
with speed begging

5.3 νύκτωρ τε ὁ σταλεὶς τοὺς πολεμίους λαθὼν
by-night and the(-one) sent the enemies having-escaped-notice-of
ἐς Ῥάβεννάν τε ἀφίκετο καὶ τὰ παρόντα σφίσιν
to Ravenna both arrived and the present(-situation) for-them
ἀπήγγειλε.
reported

5.4 διὸ δὴ στράτευμα Ῥωμαίων λόγου ἄξιον εὐθὺς ἐς
wherefore indeed army of-Romans of-account worthy at-once to
Φλωρεντίαν ᾔει, ὧν δὴ Βέσσας τε καὶ Κυπριανὸς
Florentia went of-whom indeed Bessas both and Cyprian
καὶ Ἰωάννης ὁ Βιταλιανοῦ ἀδελφιδοῦς ἡγοῦντο.
and John the of-Vitalian nephew led

5.5 ὅπερ ἐπεὶ Γότθοι πρὸς τῶν κατασκόπων ἐπύθοντο,
which-very when Goths from the spies learned
λύσαντες τὴν προσεδρείαν, ἀνεχώρησαν εἰς χωρίον
having-broken-up the siege withdrew to (a)-place
Μουκέλλιν ὄνομα, Φλωρεντίας διέχον ἡμέρας ὁδόν.
Mucella by-name from-Florentia distant of-(a)-day journey

5.6 ἐπεὶ δὲ ὁ Ῥωμαίων στρατὸς Ἰουστίνῳ ξυνέμιξεν, ὀλίγους
when and the of-Romans army with-Justinus joined few
μέν τινας τῶν αὐτῷ ἑπομένων ἐπὶ φυλακῇ τῆς πόλεως
indeed some of-the him following for guard of-the city
αὐτοῦ εἴασαν, αὐτοὶ δὲ τοὺς ἄλλους ἐπαγόμενοι ἐπὶ
there they-left they-themselves and the others bringing against
τοὺς πολεμίους ἐχώρουν.
the enemies went

5.7 καὶ αὐτοῖς ὁδῷ πορευομένοις ξυμφορώτατον ἔδοξεν
and to-them by-road marching most-advantageous it-seemed
εἶναι τῶν ἀρχόντων ἕνα παντὸς τοῦ στρατοῦ τοὺς
to-be of-the commanders one of-all the army the
λογιμωτάτους ἀπολεξάμενον πρόσω ἰέναι καὶ αὐτὸν μὲν
most-notable having-chosen forward to-go and him indeed

ἐξ ἐπιδρομῆς τοῖς πολεμίοις ἀπροσδόκητον ἐς χεῖρας
by charge with-the enemies unexpected to hands
ἐλθεῖν, τὸ δὲ ἄλλο στράτευμα σχολῇ βαδίζον ἐνταῦθα
to-come the and other army at-leisure walking there
ἰέναι. κλήρους τε ἐπὶ τούτοις ἐμβεβλημένοι τὴν τῆς
to-go lots both on these(-things) having-cast the of-the
τύχης ἐκαραδόκουν ἐς τοῦτο γνώμην.
fortune awaited about this decision
ὁ μὲν οὖν κλῆρος ἐκπεπήδηκεν ἐς Ἰωάννην, οὐκέτι 5.8
the indeed then lot leapt-out to John no-longer
δὲ βουλομένοις τοῖς ἄρχουσιν ἦν ἐπιτελεῖν τὰ
and wishing to-the commanders it-was to-carry-out the(-things)
ξυγκείμενα.
agreed
διὸ δὴ ξὺν τοῖς ἑπομένοις Ἰωάννης ἠνάγκαστο 5.9
wherefore indeed with the(-men) following John was-forced
ἐπίπροσθεν ἰὼν ἐπὶ τοὺς πολεμίους χωρεῖν. οἱ δὲ
forward going against the enemies to-advance the and
βάρβαροι τὴν τῶν ἐναντίων ἔφοδον γνόντες τὸ μὲν
barbarians the of-the opponents approach having-learned the indeed
πεδίον, οὗ δὴ ἐνστρατοπεδευσάμενοι ἐτύγχανον, δέει
plain where indeed having-encamped they-happened(-to-be) in-fear
πολλῷ ἀπολιπεῖν ἔγνωσαν, ἐς λόφον δὲ μέγαν τινά, ὃς
much to-abandon resolved to hill and great some which
ταύτῃ ἀνέχει, ξὺν θορύβῳ ἀνέδραμον.
there rises with tumult ran-up
ἐπεὶ δὲ οἱ ἀμφὶ τὸν Ἰωάννην ἐνταῦθα ἐγένοντο, 5.10
when and the(-men) about — John there came
ἀναδραμόντες καὶ αὐτοὶ ἐπὶ τοὺς πολεμίους ἔργου
having-run-up also they-themselves against the enemies to-work
εἴχοντο.
they-kept

5.11 καρτερῶς δὲ τῶν βαρβάρων ἀμυνομένων ὠθισμός τε
stoutly and the barbarians resisting (a)-pushing both
πολὺς γέγονε καὶ πολλοὶ ἑκατέρωθεν ἔργα ἐνδεικνύμενοι
great arose and many on-each-side deeds displaying
θαυμαστὰ ἔπιπτον.
wonderful fell

5.12 Ἰωάννου δὲ κραυγῇ τε καὶ ταραχῇ πολλῇ ἐπὶ τοὺς
John and with-shouting both and confusion much against the
κατ᾽ αὐτὸν πολεμίους ὁρμήσαντος ξυνέβη τῶν δορυφόρων
opposite him enemies having-charged it-happened of-the guards
τῶν αὐτοῦ ἕνα πρός του τῶν πολεμίων ἀκοντίῳ
the his one by some(-one) of-the enemies with-(a)-javelin
βληθέντα πεσεῖν· ἀπ᾽ αὐτοῦ τε Ῥωμαῖοι ἀποκρουσθέντες
struck to-fall from it and Romans having-been-repulsed
ὀπίσω ἐχώρουν.
back went

5.13 ἤδη δὲ καὶ ὁ λοιπὸς τῶν Ῥωμαίων στρατὸς ἐς τὸ πεδίον
already and also the remaining of-the Romans army to the plain
ἀφικόμενοι φάλαγγά τε ποιησάμενοι ἵσταντο. καὶ εἰ μὲν
having-come (a)-phalanx both having-formed stood and if indeed
φυγόντας τοὺς ἀμφὶ τὸν Ἰωάννην ἐδέξαντο, ξὺν αὐτοῖς
fleeing the(-men) about — John they-had-received with them
ἂν ὁμόσε τοῖς πολεμίοις χωρήσαντες ἐνίκησάν τε
— to-close with-the enemies having-gone they-would-have-conquered both
τῇ ξυμβολῇ καὶ σχεδόν τι ἅπαντας ἑλεῖν ἴσχυσαν.
in-the engagement and nearly somewhat all to-take would-have-been-able

5.14 ἀλλὰ τύχῃ τινὶ ξυνέβη ἐς τὸ Ῥωμαίων στρατόπεδον
but by-chance some it-happened into the of-Romans camp
φήμην οὐκ ἀληθῆ περιφέρεσθαι, ὡς δὴ Ἰωάννης πρός
(a)-rumor not true to-be-carried-around that indeed John by

του τῶν αὐτοῦ δορυφόρων ἐν τῷ ἔργῳ τούτῳ ἐξ
some(-one) of-the his guards in the action this from
ἀνθρώπων ἀφανισθείη.
men had-been-made-away-with
ἐπεί τε ὁ λόγος ἐς τοὺς ἄρχοντας ἦλθε, μένειν 5.15
when both the report to the commanders came to-remain
ἐνταῦθα οὐκέτι ἠξίουν, ἀλλ᾽ ἐς ὑπαγωγὴν αἰσχράν τινα
there no-longer they-thought-fit but into retreat shameful some
ξύμπαντες ἤεσαν.
all went
οὐδὲ γὰρ ξυντεταγμένοι οὐδὲ κατὰ ξυμμορίας τινάς, ἀλλ᾽ 5.16
nor for drawn-up nor in companies some but
αὐτὸς ἕκαστος ὥς πη ἐδύνατο ἐς φυγὴν ὥρμητο. καὶ
himself each as somehow he-was-able into flight rushed and
πολλοὶ μὲν ἐν τῇ φυγῇ ταύτῃ ἀπώλοντο, ὅσοι μέντοι
many indeed in the flight this perished as-many-as however
διεσώθησαν ἡμέρας πολλὰς οὐδαμῇ διωκόμενοι ἔφευγον.
escaped days many in-no-way being-pursued fled
χρόνῳ τε ὕστερον ὡς ἑκάστῳ ἔτυχεν ἐς ὀχυρώματά τινα 5.17
in-time and later as to-each it-happened into strongholds some
ἐσελθόντες ἄλλο οὐδὲν ἀπήγγελλον τοῖς ἐντυγχάνουσιν
having-entered other nothing they-reported to-the(-ones) meeting(-them)
ἢ ὅτι τεθνεὼς Ἰωάννης εἴη.
than that dead John was
καὶ ἀπ᾽ αὐτοῦ οὔτε ξυνεμίγνυντο ἔτι ἀλλήλοις οὔτε 5.18
and from it neither joined still one-another nor
ξυνίστασθαι τὸ λοιπὸν ἐπὶ τοὺς πολεμίους διενοοῦντο,
to-gather the rest against the enemies intended
ἀλλ᾽ ἕκαστος τοῦ κατ᾽ αὐτὸν περιβόλου ἐντὸς ἔμενε καὶ
but each the opposite him circuit-wall within remained and

τὰ ἐς πολιορκίαν ἡτοίμαζε, δεδιὼς μὴ οἱ βάρβαροι
the(-things) for siege prepared fearing lest the barbarians
ἐπ᾽ αὐτὸν ἴωσι.
against him go

5.19 Τουτίλας δὲ φιλοφροσύνην ἐς τοὺς αἰχμαλώτους πολλὴν
Totila and kindness toward the captives much
ἐνδεικνύμενος, προσποιεῖσθαί τε αὐτοὺς ἴσχυσε καὶ τὸ
showing to-win-over both them was-able and the
λοιπὸν ἐθελούσιοι ξὺν αὐτῷ οἱ πλεῖστοι ἐπὶ Ῥωμαίους
rest willing with him the most against Romans
ἐστράτευον. καὶ ὁ χειμὼν ἔληγε, καὶ ἕβδομον ἔτος
campaigned and the winter was-ending and (the)-seventh year
ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.
ended for-the war this which Procopius wrote

6.1 Ἔπειτα δὲ ὁ Τουτίλας Καισῆνάν τε καὶ Πέτραν τὰ
then and — Totila Caesena both and Petra the
φρούρια εἷλεν. ὀλίγον τε ὕστερον ἐς Τουσκίαν ἀφίκετο,
fortresses took little both later to Tuscia arrived
καὶ τῶν ἐνταῦθα χωρίων ἀποπειρασάμενος, ἐπεί οἱ
and of-the there places having-made-trial since to-him
προσχωρεῖν οὐδεὶς ἤθελε, Τίβεριν ποταμὸν διαβάς, ἐς
to-come-over no-one wished Tiber river having-crossed to
μὲν τὰ Ῥώμης ὅρια οὐδαμῇ ἦλθεν, ἐς Καμπανοὺς δὲ
indeed the of-Rome bounds in-no-way came to Campanians and
καὶ Σαμνίτας αὐτίκα ἥκων Βενεβεντὸν πόλιν ἐχυρὰν
and Samnites at-once having-come Beneventum city strong
παρεστήσατο οὐδενὶ πόνῳ, καὶ αὐτῆς τὰ τείχη ἐς ἔδαφος
he-reduced with-no toil and its the walls to ground
καθεῖλεν, ὅπως μὴ στράτευμα ἐκ Βυζαντίου ἥκον ἔκ τε
pulled-down so-that not army from Byzantium having-come from both
ὀχυροῦ ὁρμώμενον πράγματα Γότθοις παρέχειν δύνηται.
(a)-strong(-place) setting-out trouble to-Goths to-cause may-be-able

μετὰ δὲ Νεαπολίτας πολιορκεῖν ἔγνω, ἐπεὶ αὐτὸν 6.2
afterward and Neapolitans to-besiege he-resolved since him
δέχεσθαι τῇ πόλει, καίπερ ἐπαγωγὰ πολλὰ λέγοντα, ὡς
to-receive into-the city although enticing(-things) many saying as
ἥκιστα ἤθελον. Κόνων γὰρ ἐνταῦθα ἐφύλασσε, Ῥωμαίων
least they-wished Conon for there was-on-guard of-Romans
τε καὶ Ἰσαύρων χιλίους ἔχων.
both and of-Isaurians thousand having
καὶ αὐτὸς μὲν τῷ πλείονι τοῦ στρατοῦ 6.3
and he indeed with-the greater of-the army
ἐνστρατοπεδευσάμενος οὐ πολλῷ ἄποθεν τοῦ περιβόλου
having-encamped not much away-from the circuit-wall
ἡσύχαζε, πέμψας δὲ τῆς στρατιᾶς μοῖραν, Κύμην τε τὸ
kept-quiet having-sent and of-the army (a)-part Cumae both the
φρούριον καὶ ἄλλα ἄττα ὀχυρώματα εἷλε, χρήματά τε
fortress and other certain strongholds took money both
ἐνθένδε περιβαλέσθαι μεγάλα ἴσχυσε.
from-there to-acquire great was-able
καὶ γυναῖκας τῶν ἐκ βουλῆς ἐνταῦθα εὑρὼν 6.4
and wives of-the(-men) from (the)-senate there having-found
οὔτε ὕβρισε καὶ ξὺν πολλῇ φιλοφροσύνῃ ἐλευθέρας
neither insulted(-them) and with much kindness free
ἀφῆκε, μέγα τε ἀπ᾽ αὐτοῦ ὄνομα ἐπί τε ξυνέσει καὶ
let-go great both from it (a)-name for both understanding and
φιλανθρωπίᾳ ἐς Ῥωμαίους ἅπαντας ἔσχε. καὶ ἐπεί οἱ
humanity among Romans all had and since to-him
πολέμιον οὐδὲν ὑπηντίαζεν, ὀλίγους ἀεὶ τοῦ στρατοῦ
hostile nothing met few always of-the army
περιπέμπων ἔργα λόγου πολλοῦ ἄξια ἔπρασσε.
sending-round deeds of-account much worthy accomplished

6.5 Βριττίους μὲν καὶ Λευκανοὺς παρεστήσατο, καὶ Ἀπουλίαν
Brutii indeed and Lucanians he-reduced and Apulia
ξὺν Καλαβρίᾳ ἔσχε, τούς τε δημοσίους φόρους αὐτὸς
with Calabria held the both public taxes he
ἔπρασσε, καὶ τὰς τῶν χρημάτων προσόδους ἀντὶ τῶν
collected and the of-the money revenues instead-of the(-men)
τὰ χωρία κεκτημένων ἐφέρετο, καὶ τἄλλα καθίστη ἅτε
the lands possessing took and the-rest set-in-order as
τῆς Ἰταλίας γεγονὼς κύριος.
— of-Italy having-become master

6.6 διὸ δὴ τῇ Ῥωμαίων στρατιᾷ χρόνοις τοῖς καθήκουσιν
wherefore indeed to-the of-Romans army at-times the appointed
οὐ κομιζομένῃ τὰς συνειθισμένας συντάξεις χρήματα
not receiving the accustomed pay money
μεγάλα βασιλεὺς ὤφειλε.
great (the)-emperor owed

6.7 καὶ ἀπ᾽ αὐτοῦ οἱ μὲν Ἰταλιῶται τῶν τε προσηκόντων
and from it the indeed Italians from-the both belongings
ἐκπεπτωκότες καὶ ἐς κινδύνου μέγεθος αὖθις ἐληλακότες
having-been-ejected and into of-danger greatness again having-been-driven
ἐν πένθει μεγάλῳ ἐγίνοντο. οἱ δὲ στρατιῶται ἀπειθεστέρους
in grief great were the and soldiers more-disobedient
αὑτοὺς τοῖς ἄρχουσιν ἔτι μᾶλλον παρεῖχον, ἔν τε ταῖς
themselves to-the commanders still more showed in both the
πόλεσιν ἄσμενοι ἔμενον.
cities gladly remained

6.8 Κωνσταντιανὸς μὲν οὖν Ῥάβενναν εἶχεν, Ἰωάννης δὲ
Constantianus indeed then Ravenna held John and
Ῥώμην, Σπολίτιον δὲ Βέσσας, καὶ Ἰουστῖνος Φλωρεντίαν,
Rome Spolitium and Bessas and Justinus Florentia

Κυπριανὸς δὲ Περυσίαν, καὶ τῶν ἄλλων ἕκαστος ὅπη
Cyprian and Perusia and of-the others each where
φυγών τε καὶ διασωθεὶς κατ᾽ ἀρχὰς ἔτυχε.
having-fled both and having-escaped at (the)-beginnings he-happened
Ταῦτα βασιλεὺς μαθών τε καὶ ἐν ξυμφορᾷ 6.9
these(-things) (the)-emperor having-learned both and in misfortune
πεποιημένος τῶν Ἰταλίας πραιτωρίων ἔπαρχον
having-reckoned(-them) of-the of-Italy praetorians prefect
Μαξιμῖνον ὡς τάχιστα κατεστήσατο, ἐφ᾽ ᾧ τοῖς τε
Maximinus as quickest appointed on which to-the both
ἄρχουσιν ἐς τὸν πόλεμον ἐπιστάτης εἴη καὶ τοῖς
commanders for the war (a)-superintendent he-might-be and to-the
στρατιώταις τὰ ἐπιτήδεια κατὰ τὴν χρείαν πορίζηται.
soldiers the provisions according-to the need he-might-supply
καί οἱ νεῶν ξυνέπεμψε στόλον, Θρᾳκῶν τε καὶ 6.10
and with-him of-ships he-sent (a)-fleet of-Thracians both and
Ἀρμενίων στρατιωτῶν ἐμπλησάμενος. ἡγεῖτο δὲ τῶν μὲν
Armenians soldiers having-filled(-it) led and the indeed
Θρᾳκῶν Ἡρωδιανός, τῶν δὲ Ἀρμενίων Φάζας Ἴβηρ,
Thracians Herodian the and Armenians Phazas (an)-Iberian
Περανίου ἀδελφιδοῦς· ξυνέπλεον δὲ αὐτοῖς καὶ Οὖννοι ὀλίγοι.
of-Peranius nephew sailed-with and them also Huns few
Μαξιμῖνος μὲν οὖν ἄρας ἐκ Βυζαντίου παντὶ τῷ 6.11
Maximinus indeed then having-set-out from Byzantium with-all the
στόλῳ τῆς Ἑλλάδος ἐς τὴν Ἤπειρον ἦλθεν· ἔνθα δὴ
fleet — of-Hellas to — Epirus came where indeed
τὸν καιρὸν κατατρίβων ἐκάθητο οὐδενὶ λόγῳ.
the time wasting he-sat for-no reason
ἦν γὰρ πολεμίων ἔργων οὐδαμῶς ἔμπειρος καὶ ἀπ᾽ 6.12
he-was for of-warlike deeds in-no-way experienced and from
αὐτοῦ δειλός τε καὶ μελλητὴς ἐς τὰ μάλιστα.
it cowardly both and (a)-delayer in the most

6.13 μετὰ δὲ καὶ Δημήτριον στρατηγὸν βασιλεὺς ἔπεμψεν,
afterward and also Demetrius (as)-general (the)-emperor sent
ὃς δὴ τὰ πρότερα ξὺν Βελισαρίῳ ἐστράτευε καταλόγου
who indeed the former(-times) with Belisarius campaigned of-(a)-company
πεζικοῦ ἄρχων.
of-infantry commander

6.14 καταπλεύσας οὖν ὁ Δημήτριος ἐς Σικελίαν, ἐπεὶ Κόνωνά
having-sailed-down then — Demetrius to Sicily when Conon
τε καὶ Νεαπολίτας πικρότατα πολιορκεῖσθαι τῶν
both and Neapolitans most-bitterly to-be-besieged of-the
ἐπιτηδείων παντάπασι σπανίζοντας ἤκουσε, βοηθεῖν μὲν
provisions altogether lacking he-heard to-help indeed
κατὰ τάχος ἤθελεν, ἀδύνατος δὲ ὤν, ἐπεί οἱ στράτευμα
with speed he-wished unable and being since him army
βραχύ τε καὶ οὐκ ἀξιόλογον εἵπετο, ἐπενόει τοιάδε.
small both and not considerable followed he-devised such(-things)

6.15 ναῦς ὅτι πλείστας ἐκ Σικελίας ἁπάσης ἀγείρας σίτου
ships as most from Sicily all having-gathered with-grain
τε αὐτὰς ἐμπλησάμενος καὶ τῶν ἄλλων ἐπιτηδείων
both them having-filled and with-the other provisions
ἔπλει, δόκησιν παρέχων τοῖς ἐναντίοις πάμπολύ τι
he-sailed (an)-impression giving to-the opponents very-great some
στράτευμα ἐν ταῖς ναυσὶν εἶναι.
army in the ships to-be

6.16 καὶ ἔτυχέ γε τῆς τῶν πολεμίων ἐννοίας. μέγαν γὰρ
and he-hit at-least the of-the enemies thought great for
σφίσιν ἐπιέναι στρατὸν ᾤοντο, τεκμαιρόμενοι ὅτι δὴ
upon-them to-come-on (an)-army they-thought judging that indeed
στόλου πολύ τι χρῆμα πλεῖν ἐκ Σικελίας ἐπύθοντο.
of-(a)-fleet great some quantity to-sail from Sicily they-learned

καὶ εἰ μὲν κατ᾽ ἀρχὰς εὐθὺ Νεαπόλεως ἰέναι Δημήτριος 6.17
and if indeed at (the)-beginnings straight Naples to-go Demetrius
ἤθελεν, οἶμαι ἂν αὐτὸν ἐκπλῆξαί τε τοὺς πολεμίους
had-wished I-think — him to-have-astounded both the enemies
καὶ τὴν πόλιν διασώσασθαι, οὐδενός οἱ ἀντιστατοῦντος.
and the city to-have-saved no-one him opposing
νῦν δὲ κατορρωδήσας τὸν κίνδυνον καταίρειν μὲν ἐς 6.18
now and having-shrunk-in-fear-of the danger to-put-in indeed to
Νεάπολιν ἥκιστα ἔγνω, ἐς δὲ τὸν Ῥώμης καταπλεύσας
Naples least he-resolved to and the of-Rome having-sailed-down
λιμένα, στρατιώτας ἐνθένδε ἀγείρειν ἐν σπουδῇ ἐποιεῖτο.
harbor soldiers from-there to-gather in zeal he-made
οἱ δὲ ἅτε πρὸς τῶν βαρβάρων ἡσσημένοι τε καὶ μέγα δέος 6.19
they and as by the barbarians defeated both and great fear
ἔτι ἀπ᾽ αὐτῶν ἔχοντες, ἕπεσθαι Δημητρίῳ ἐπὶ Τουτίλαν τε
still from them having to-follow Demetrius against Totila both
καὶ Γότθους οὐδαμῇ ἤθελον. διὸ δὴ μόνοις τοῖς ἐκ
and Goths in-no-way wished wherefore indeed with-only the(-men) from
Βυζαντίου ξὺν αὐτῷ ἥκουσιν ἐς Νεάπολιν ἰέναι ἠνάγκαστο.
Byzantium with him having-come to Naples to-go he-was-forced
ἦν δέ τις Δημήτριος ἕτερος, Κεφαληνὸς γένος, 6.20
there-was and (a)-certain Demetrius other (a)-Cephallenian by-race
ναύτης μὲν τὸ παλαιὸν καὶ τῶν κατὰ θάλασσαν ἔργων
(a)-sailor indeed the of-old and in-the at sea deeds
τε καὶ κινδύνων ἀκριβῶς ἔμπειρος, πλεύσας δὲ ξὺν
both and dangers exactly experienced having-sailed and with
Βελισαρίῳ ἔς τε Λιβύην καὶ Ἰταλίαν ἐγένετο ἐς ταύτην
Belisarius to both Libya and Italy he-became in this
δὴ τὴν ἐμπειρίαν δόκιμος, καὶ ἀπ᾽ αὐτοῦ ἐπίτροπον
indeed the experience approved and from it (as)-steward
βασιλεὺς αὐτὸν Νεαπόλεως κατεστήσατο.
(the)-emperor him of-Naples appointed

6.21 ἐπειδή τε οἱ βάρβαροι τὸ χωρίον πολιορκεῖν ἤρξαντο,
when both the barbarians the place to-besiege began
ἀσελγείᾳ πολλῇ ἐχόμενος ἐς τὸν Τουτίλαν συχνὰ ὕβριζε,
with-insolence much possessed toward — Totila often insulted
λίαν τε ἀθυρόγλωσσος ἐν τούτῳ τῷ πόνῳ ὁ ἀνὴρ ὤφθη.
very both unbridled-of-tongue in this the toil the man appeared
6.22 προϊόντος δὲ τοῦ κακοῦ καὶ τῆς ἀπωλείας τοῖς
advancing and the evil and the destruction for-the(-ones)
πολιορκουμένοις ἐπὶ μέγα χωρούσης γνώμῃ Κόνωνος
besieged to great going by-(the)-decision of-Conon
ἐς λέμβον τινὰ λάθρα ἐσβὰς ἐτόλμησε παρὰ τὸν
into boat some secretly having-embarked he-dared to the
στρατηγὸν Δημήτριον ἰέναι μόνος.
general Demetrius to-go alone
6.23 ἐκ δὲ τοῦ παραδόξου σωθείς τε καὶ ξυγγενόμενος
from and the unexpected having-been-saved both and having-met-with
τῷ Δημητρίῳ ἐθάρσυνέ τε μάλιστα καὶ ἐς ταύτην δὴ
— Demetrius he-encouraged both most and to this indeed
τὴν πρᾶξιν ἐνῆγε.
the action urged(-him)
6.24 Τουτίλας δὲ τὸν πάντα λόγον ἀμφὶ τῷ στόλῳ τούτῳ
Totila and the whole account about the fleet this
ἀκούσας δρόμωνας μὲν πολλοὺς ἄριστα πλέοντας ἐν
having-heard dromons indeed many best sailing in
παρασκευῇ εἶχεν, ἐπειδὴ δὲ κατῆραν ἐς τὴν ἐκείνῃ ἀκτὴν οἱ
readiness had when and put-in to the there shore the
πολέμιοι Νεαπόλεως οὐ μακρὰν ἄποθεν, ἐλθὼν ἐκ τοῦ
enemies from-Naples not far away having-come out-of the
ἀπροσδοκήτου κατέπληξέ τε καὶ ἐς φυγὴν ἅπαντας ἔτρεψε.
unexpected he-struck both and into flight all turned

καὶ αὐτῶν πολλοὺς μὲν ἔκτεινεν, ἐζώγρησε δὲ πλείστους, 6.25
and of-them many indeed he-killed took-alive and most
διέφυγον δὲ ὅσοι ἐς τῶν νεῶν τοὺς λέμβους ἐσπηδῆσαι
escaped and as-many-as into of-the ships the boats to-leap
κατ᾽ ἀρχὰς ἴσχυσαν, ἐν τοῖς καὶ Δημήτριος ὁ
at (the)-beginnings were-able among whom also Demetrius the
στρατηγὸς ἦν. τὰς γὰρ ναῦς ἁπάσας σὺν αὐτοῖς φορτίοις,
general was the for ships all with very cargoes
αὐτοῖς ἀνδράσιν, οἱ βάρβαροι εἷλον.
very men the barbarians took
οὗ δὴ καὶ Δημήτριον τὸν Νεαπόλεως ἐπίτροπον εὗρον. 6.26
where indeed also Demetrius the of-Naples steward they-found
γλῶσσάν τε καὶ χεῖρας ἄμφω ἀποτεμόντες οὐκ ἔκτειναν
tongue both and hands both having-cut-off not they-killed
μέν, οὕτω δὲ λωβησάμενοι ὅπη βούλοιτο ἀφῆκαν
indeed thus and having-maltreated(-him) wherever he-wished they-let-go
ἰέναι. ταύτην τε Τουτίλᾳ τὴν δίκην Δημήτριος γλώσσης
to-go this both to-Totila the penalty Demetrius of-(his)-tongue
ἀκολάστου ἐξέτισεν.
unbridled paid

A storm drives the Roman relief fleet onto the Gothic camp, and Demetrius is captured. Totila leads him to the walls on a rope and offers the Neapolitans terms; they surrender, and he feeds the starving slowly and lets Conon's men go. He executes a guard who raped a Calabrian girl. The Roman commanders plunder Italy, Totila writes to the senate, and Justinian sends Belisarius back to Italy with few men.

7.1 Ὕστερον δὲ καὶ Μαξιμῖνος πάσαις ταῖς ναυσὶ Σικελίᾳ
later and also Maximinus with-all the ships at-Sicily
προσέσχεν. ἔς τε τὰς Συρακούσας ἀφικόμενος ἡσυχῇ
put-in to both — Syracuse having-arrived quietly
ἔμενε, κατορρωδῶν τὰ πολέμια.
remained dreading the(-things) of-war

7.2 ἃ δὴ μαθόντες οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες
which indeed having-learned the of-the of-Romans army commanders
σπουδῇ πολλῇ ἐς αὐτὸν ἔπεμπον, βοηθεῖν κατὰ τάχος
with-haste much to him sent to-help with speed
δεόμενοι οἵ τε ἄλλοι καὶ Κόνων ἐκ Νεαπόλεως
begging the both others and Conon from Naples
ἰσχυρότατα πρὸς τῶν βαρβάρων πολιορκούμενος. ἤδη
most-strongly by the barbarians besieged already
γὰρ ἅπαντα σφᾶς τὰ ἐπιτήδεια ἐπελελοίπει.
for all them the provisions had-failed

7.3 ὁ δὲ τὸν καιρὸν ἅπαντα ἐν ταύτῃ δὴ κατατρίψας τῇ
he and the time all in this indeed having-wasted the
ὀρρωδίᾳ, ἐπειδὴ τάς τε βασιλέως ἀπειλὰς ἔδεισε καὶ
dread when the both of-(the)-emperor threats he-feared and
κακιζόμενος πρὸς τῶν ἄλλων ἀπεῖπεν, αὐτὸς μὲν οὐδέν
reproached by the others he-gave-up he indeed nothing
τι ἧσσον αὐτοῦ ἔμεινε, τὸν δὲ στρατὸν ἅπαντα ξύν τε
at-all less there remained the and army all with both

Ἡρωδιανῷ καὶ Δημητρίῳ καὶ Φάζᾳ ἐς Νεάπολιν ἔπεμψε,
Herodian and Demetrius and Phazas to Naples sent
σφοδρότατα ἐγκειμένης ἤδη τῆς τοῦ χειμῶνος ὥρας.
most-vehemently pressing already the of-the winter season
ἐπεὶ δὲ Νεαπόλεως ὁ Ῥωμαίων στόλος ἀγχοῦ ἐγένετο, 7.4
when and to-Naples the of-Romans fleet near came
κατέβαινε σκληρὸς ἄνεμος, ἐξαίσιόν τινα χειμῶνα ἐγείρων.
came-down (a)-harsh wind extraordinary some storm raising
καὶ ὁ μὲν ζόφος ἅπαντα ἐνεδίδου, ὁ δὲ κλύδων τὰς 7.5
and the indeed darkness all(-things) gave-way the and surge the
κώπας ἀνασπᾶν ἢ ἄλλο τι ἐνεργεῖν τοὺς ναύτας οὐκ
oars to-draw-up or other anything to-do the sailors not
εἴα. διά τε τῶν ῥοθίων τὸν κτύπον ἔτι ἀλλήλων
allowed because-of and the waves the din any-longer one-another
κατακούειν οὐκ ἦν, ἀλλὰ ξύγχυσίς τε λαμπρῶς
to-hear not it-was-possible but confusion both brilliantly
ἐκράτει καὶ ἡ τοῦ πνεύματος ἐπρυτάνευε βία, ἥπερ
prevailed and the of-the wind presided violence which-very
αὐτοὺς ὡς ἥκιστα ἐθελουσίους ἐς τὴν ἀκτὴν ἤνεγκεν, οὗ
them as least willing to the shore carried where
δὴ ἐστρατοπεδεύοντο οἱ πολέμιοι.
indeed were-encamped the enemies
ἐπιβαίνοντες οὖν κατ᾽ ἐξουσίαν οἱ βάρβαροι τοῖς σκάφεσι 7.6
boarding then at liberty the barbarians the vessels
τῶν ἐναντίων, ἔκτεινόν τε καὶ κατέδυον οὐδενὸς σφίσιν
of-the opponents killed both and sank no-one them
ἀντιστατοῦντος. ἐζώγρησαν δὲ ἄλλους τε πολλοὺς καὶ
opposing took-alive and others both many and
Δημήτριον τὸν στρατηγόν.
Demetrius the general

7.7 Ἡρωδιανὸς δὲ καὶ Φάζας ξὺν ὀλίγοις τισὶ διαφυγεῖν
Herodian and and Phazas with few some to-escape
ἴσχυσαν, ἐπεὶ αὐτῶν αἱ νῆες οὐ λίαν που ἄγχιστα τοῦ
were-able since their the ships not very somehow nearest the
τῶν πολεμίων στρατοπέδου ἦλθον. τὰ μὲν οὖν ἀμφὶ
of-the enemies camp came the(-things) indeed then about
τῷ Ῥωμαίων στόλῳ ταύτῃ πη ἔσχε.
the of-Romans fleet in-this-way somehow went

7.8 Τουτίλας δὲ καλώδιον ἀναψάμενος ἐς τὸν Δημητρίου
Totila and (a)-small-rope having-fastened to the of-Demetrius
αὐχένα, ἔς τε τὸν Νεαπόλεως περίβολον εἵλκε καὶ
neck to both the of-Naples circuit-wall dragged(-him) and
παραινεῖν τοῖς πολιορκουμένοις ἐκέλευε μηκέτι ἀνονήτοις
to-exhort the(-ones) besieged ordered(-him) no-longer in-useless
ἐλπίσι πιστεύοντας διαφθείρεσθαι, ἀλλὰ τὴν πόλιν ὅτι
hopes trusting to-be-destroyed but the city as
τάχιστα Γότθοις ἐνδιδόντας μεγάλων ἀπηλλάχθαι κακῶν.
quickest to-Goths surrendering from-great to-be-released evils

7.9 ἀδύνατον γὰρ βασιλέα τὸ λοιπὸν ἄλλην σφίσιν ἐπικουρίαν
impossible for (the)-emperor the rest other to-them help
πέμψαι, ἀλλ' ἐπὶ τῷ στόλῳ τούτῳ πᾶσαν αὐτοῖς τήν
to-send but on the fleet this all for-them the
τε δύναμιν καὶ τὴν ἐλπίδα διολωλέναι. Δημήτριος μὲν
both power and the hope to-have-perished Demetrius indeed
τοσαῦτα εἶπεν, ὅσα Τουτίλας ἐκέλευεν.
so-much said as-much-as Totila ordered

7.10 οἱ δὲ πολιορκούμενοι τῷ τε λιμῷ ἤδη καὶ τῇ ἄλλῃ
the and besieged by-the both famine already and by-the other
ἀπορίᾳ ὑπερφυῶς πιεζόμενοι, ἐπεὶ τό τε πάθος Δημητρίου
want extraordinarily oppressed when the both suffering of-Demetrius
εἶδον καὶ τοὺς λόγους ἅπαντας ἤκουσαν, ἀπογνόντες
they-saw and the words all heard having-despaired-of

ἐλπίδος ἁπάσης ἔς τε οἰμωγὰς καὶ ἀμηχανίαν ἐνέπιπτον,
hope all into both wailings and helplessness fell
ἦν τε ἡ πόλις θορύβου πολλοῦ καὶ κωκυτοῦ ἔμπλεως.
was both the city of-uproar much and of-lamentation full
Μετὰ δὲ καὶ Τουτίλας αὐτοὺς ξυγκαλέσας ἐς τὰς 7.11
afterward and also Totila them having-called-together to the
ἐπάλξεις ἔλεξε τοιάδε "Οὐδεμίαν αἰτίαν ἢ μέμψιν
battlements said such(-things) no cause or blame
ἐς ὑμᾶς ἔχοντες, ἄνδρες Νεαπολῖται, τανῦν ἐς
against you having men Neapolitans now into
πολιορκίαν τήνδε κατέστημεν, ἀλλ' ὅπως ἐχθίστων ὑμᾶς
siege this we-have-entered but that from-most-hateful you
ἀπαλλάξαντες δεσποτῶν οἷοί τε ὦμεν τάς τε χάριτας
having-released masters able — we-may-be the both thanks
ὑμῖν ἐκτινύναι, ὧνπερ ἡμᾶς δεδρακότες ἐν τῷδε τῷ
to-you to-repay for-which-very us having-served in this the
πολέμῳ τὰ χαλεπώτατα πρὸς τῶν πολεμίων πεπόνθατε.
war the hardest(-things) from the enemies you-have-suffered
μόνους γὰρ Ἰταλιωτῶν ὑμᾶς ἁπάντων εὔνοιάν τε τὴν 7.12
alone for of-Italians you of-all goodwill both the
μεγίστην ἐς Γότθων τὸ ἔθνος ἐπιδεδεῖχθαι καὶ ἀκουσίους
greatest toward of-Goths the nation to-have-displayed and unwilling
μάλιστα ὑπὸ τοῖς ἐναντίοις γεγενῆσθαι ξυμβέβηκεν.
most under the opponents to-have-become it-has-happened
ὥστε καὶ νῦν πολιορκεῖν ὑμᾶς ξὺν ἐκείνοις ἠναγκασμένοι 7.13
so-that also now to-besiege you with those having-been-compelled
τὸ πιστὸν ὑμῶν, ὡς τὸ εἰκός, αἰσχυνόμεθα, καίπερ οὐκ
the loyalty your as the likely we-are-ashamed-before although not
ἐπὶ τῷ πονηρῷ Νεαπολιτῶν τὴν προσεδρείαν ποιούμενοι.
on the wickedness of-Neapolitans the siege making

7.14 μὴ τοίνυν ἀχθόμενοι τοῖς ἐκ τῆς πολιορκίας δεινοῖς
not therefore being-vexed at-the from the siege terrors
Γότθους οἴεσθε δεῖν δι᾽ ὀργῆς ἔχειν. οἱ γὰρ τοὺς
Goths think it-necessary in anger to-hold they for the
φίλους εὐεργετεῖν ἐπειγόμενοι οὐδεμίαν αἰτίαν εἰσὶν ἄξιοι
friends to-benefit hastening no blame are worthy
πρὸς αὐτῶν φέρεσθαι, κἂν μὴ διὰ τῶν πρὸς ἡδονὴν
from them to-receive even-if not through the(-things) toward pleasure
ἀναγκάζωνται τὴν πρὸς αὐτοὺς διαπράσσεσθαι χάριν.
they-are-compelled the toward them to-accomplish favor
7.15 τῶν δὲ πολεμίων ὡς ἥκιστα ὑμᾶς δέος εἰσίτω, μηδὲ
of-the and enemies as least you fear let-enter nor
τοῖς προλαβοῦσιν ἠγμένοι κρατήσειν αὐτοὺς ἡμῶν
by-the(-things) gone-before led to-prevail-over them us
οἴεσθε. τὰ γὰρ τοῦ βίου παράλογα τύχῃ τινὶ παρὰ
think the(-things) for of-the life unexpected by-chance some contrary-to
δόξαν ἐλθόντα τῷ χρόνῳ αὖθις καταρρεῖν εἴωθεν.
expectation having-come in-the time again to-ebb is-wont
7.16 οὕτω δὲ ὑμῖν εὖνοι καθέσταμεν ὥστε καὶ Κόνωνα
thus and to-you well-disposed we-have-become so-that both Conon
καὶ πάντας στρατιώτας κακῶν ἀπαθεῖς ὅπη βούλοιντο
and all (the)-soldiers of-evils unharmed where they-wish
συγχωροῦμεν ἰέναι, ἤν γε τὴν πόλιν ἐνδόντες ἡμῖν
we-allow to-go if at-least the city having-surrendered to-us
ἐνθένδε ἀπαλλάσσοιντο, πάντα τὰ σφέτερα αὐτῶν ἔχοντας·
from-here they-depart all the their-own of-them having
καὶ ὑπὲρ τούτων ἡμᾶς καὶ τῆς Νεαπολιτῶν σωτηρίας
and for these(-things) us and the of-Neapolitans safety
ὀμεῖσθαι οὐδὲν κωλύσει."
to-swear nothing will-prevent

Τουτίλας μὲν τοσαῦτα εἶπεν, ἐπῄνεσαν δὲ οἵ τε 7.17
Totila indeed so-much said approved and the both
Νεαπολῖται καὶ οἱ ξὺν τῷ Κόνωνι στρατιῶται πάντες.
Neapolitans and the with — Conon soldiers all
πολλὴ γὰρ αὐτοὺς ἀνάγκη τοῦ λιμοῦ ἐπίεζε.
great for them necessity of-the famine pressed
πίστιν μέντοι ἐς βασιλέα φυλάσσοντες καὶ βοήθειάν τινα 7.18
faith however toward (the)-emperor keeping and help some
ἔτι παρέσεσθαι σφίσι καραδοκοῦντες τριάκοντα ἡμερῶν
still to-be-present for-them expecting of-thirty days
ὡμολόγουν ἐνδώσειν τὴν πόλιν.
they-agreed to-surrender the city
Τουτίλας δὲ πᾶσαν αὐτοῖς ἐκ βασιλέως ἀνασοβεῖν 7.19
Totila and all for-them from (the)-emperor to-scare-away
ἐλπίδα ἐθέλων τριῶν μηνῶν ἔταξε χρόνον, ἐφ᾽ ᾧ δὴ
hope wishing of-three months fixed (a)-time on which indeed
μετὰ τοῦτον τὰ ὡμολογημένα ποιήσωσι. πρότερον
after this the(-things) agreed they-should-do before
δὲ οὐ προσβολήν τινα κατὰ τοῦ περιβόλου ποιήσεσθαι
and not attack any against the circuit-wall to-make
ἰσχυρίζετο, οὐδὲ ἄλλῃ τινὶ ἐπιβουλῇ ἐς αὐτοὺς χρῆσθαι.
he-affirmed nor other any plot against them to-use
ταῦτα μὲν οὖν οὕτως ἐδέδοκτο. οἱ δὲ πολιορκούμενοι 7.20
these(-things) indeed then thus had-been-decided the and besieged
οὐκ ἀναμείναντες τὴν κυρίαν (λίαν γὰρ ἐβιάζοντο
not having-waited-for the appointed(-day) very for they-were-pressed
τῶν ἀναγκαίων τῇ ἀπορίᾳ) ὀλίγῳ ὕστερον τῇ πόλει
of-the necessities by-the want little later into-the city
Τουτίλαν τε καὶ τοὺς βαρβάρους ἐδέξαντο. καὶ ὁ χειμὼν
Totila both and the barbarians received and the winter

ἔληγε, καὶ ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν
was-ending and (the)-eighth year ended for-the war this which
Προκόπιος ξυνέγραψεν.
Procopius wrote

8.1 Ἐπειδὴ δὲ Νεάπολιν Τουτίλας εἷλε, φιλανθρωπίαν ἐς
when and Naples Totila took humanity toward
τοὺς ἡλωκότας ἐπεδείξατο οὔτε πολεμίῳ οὔτε βαρβάρῳ
the(-ones) captured he-displayed neither for-(an)-enemy nor for-(a)-barbarian
ἀνδρὶ πρέπουσαν.
man befitting

8.2 τοὺς μὲν γὰρ Ῥωμαίους λιμῷ νενοσηκότας λαβών,
the indeed for Romans by-famine having-sickened having-taken
οἷς δὴ ὑπ᾽ αὐτοῦ καὶ ἡ τοῦ σώματος ἰσχὺς ὀπίσω
in-whom indeed by it also the of-the body strength back
ἤδη ἐκεχωρήκει, δείσας μὴ βρώσεως ἐκ τοῦ αἰφνιδίου ἐς
already had-gone fearing lest of-food out-of the sudden to
κόρον ἐλθόντες, ὡς τὸ εἰκός, ἀποπνιγεῖεν, ἐπενόει τάδε.
satiety coming as the likely they-be-choked he-devised these(-things)

8.3 φυλακὰς ἔν τε τῷ λιμένι καὶ ταῖς πύλαις καταστησάμενος
guards in both the harbor and the gates having-set
ἐκέλευε μηδένα πη ἐνθένδε ἰέναι.
he-ordered no-one anywhere from-there to-go

8.4 αὐτὸς δὲ ἅπασι μικρολογίᾳ τινὶ προμηθεῖ ἐνδεεστέρως ἢ
he and to-all with-sparingness some provident more-scantily than
κατὰ τὴν ἐπιθυμίαν τὰ σιτία παρείχετο, προσεπιβάλλων
according-to the desire the foods supplied adding
ἡμέρᾳ ἑκάστῃ τοσοῦτον τοῦ μέτρου ὅσον οὐ δοκεῖν
day each so-much of-the measure as not to-seem
αἴσθησίν τινα τῶν ἐντιθεμένων ἐς ἀεὶ γίγνεσθαι.
perception any of-the(-things) put-in for ever to-arise

οὕτω τε αὐτοῖς ἐπιρρώσας τὴν δύναμιν καὶ τὰς πύλας 8.5
thus both for-them having-strengthened the power and the gates
ἀναπετάσας ἕκαστον ὅπη βούλοιτο ἀφῆκεν ἰέναι.
having-thrown-open each where he-wished he-let-go to-go
Κόνωνα δὲ καὶ τοὺς ξὺν αὐτῷ στρατιώτας, ὅσους δὴ 8.6
Conon and and the with him soldiers as-many-as indeed
αὐτοῦ μένειν ἥκιστα ἤρεσκεν, ἐς ναῦς ἐμβιβάσας πλεῖν
there to-remain least pleased into ships having-embarked to-sail
κατ᾽ ἐξουσίαν ἐκέλευε. καὶ οἱ μὲν αἰσχύνην σφίσι
at liberty he-ordered and they indeed shame on-themselves
φέρειν οἰόμενοι τὴν ἐς Βυζάντιον ἀναχώρησιν, πλεῖν κατὰ
to-bring thinking the to Byzantium retreat to-sail with
τάχος ἐπὶ Ῥώμης διενοοῦντο.
speed for Rome intended
τοῦ δὲ ἀνέμου σφίσιν ἀντιστατοῦντος ἀπαίρειν ἐνθένδε 8.7
the and wind to-them opposing to-set-sail from-there
οὐδαμῇ ἔχοντες διηποροῦντο, δεδιότες μή τι Τουτίλαν
in-no-way being-able they-were-at-a-loss fearing lest some Totila
τῶν ὡμολογημένων ὀλιγωρεῖν διὰ τὸ κεκρατηκέναι
of-the(-things) agreed to-disregard because-of the to-have-prevailed
ξυμβαίη, καὶ κακόν τι μέγα πρὸς αὐτοῦ λάβωσιν.
it-happen and evil some great from him they-receive
ὥνπερ ἐπεὶ ὁ Τουτίλας ᾔσθετο, ξυγκαλέσας ἅπαντας 8.8
which-very when — Totila perceived having-called-together all
παρηγόρει τε καὶ τὰ πιστὰ ἔτι μᾶλλον αὐτοῖς ἐπιρρώσας,
he-consoled both and the pledges still more for-them having-strengthened
θαρσεῖν μὲν ἤδη ἐκέλευε καὶ τῷ Γότθων στρατῷ φόβῳ
to-take-courage indeed now ordered and with-the of-Goths army with-fear
οὐδενὶ ἀναμίγνυσθαι, τά τε ἐπιτήδεια ἐνθένδε ὠνεῖσθαι
no to-mingle the both provisions from-there to-buy
καὶ εἴ του ἄλλου δέοιντο, ἅτε παρὰ φίλων κομίζεσθαι.
and if anything else they-need as from friends to-get

8.9 ἐπεὶ δὲ τὸ πνεῦμα ἔτι σφίσιν ἀπ᾽ ἐναντίας ἐφέρετο
when and the wind still to-them from opposite was-borne
καὶ χρόνος ἐτρίβη συχνός, ἵππους τε καὶ ὑποζύγια
and time was-spent much horses both and beasts-of-burden
παρασχόμενος, ἐφοδίοις τε αὐτοὺς δωρησάμενος, ἐς
having-supplied with-provisions both them having-presented to
Ῥώμην ἐκέλευεν ὁδῷ ἰόντας πορεύεσθαι, πομπούς τινας
Rome he-ordered by-road going to-travel escorts some
τῶν ἐν Γότθοις δοκίμων σφίσι ξυμπέμψας.
of-the among Goths approved(-men) with-them having-sent

8.10 τὸ δὲ Νεαπόλεως τεῖχος καθελεῖν ἐς ἔδαφος ἐνεχείρησεν,
the and of-Naples wall to-pull-down to ground he-set-hand
ὅπως αὐτὴν μὴ καταλαβόντες αὖθις Ῥωμαῖοι ἔκ τε
so-that it not having-seized again Romans from both
ἐχυροῦ ὁρμώμενοι πράγματα Γότθοις παράσχωσιν.
(a)-strong(-place) setting-out trouble to-Goths they-should-cause

8.11 ἐν πεδίῳ γὰρ μᾶλλον ἐκ τοῦ εὐθέος διακρίνεσθαι
in (the)-plain for rather out-of the straight to-decide-the-issue
μάχῃ πρὸς αὐτοὺς ἤθελεν ἢ τέχναις τισὶ καὶ σοφίσμασι
by-battle against them he-wished than by-arts some and contrivances
διαμάχεσθαι. μοῖραν μέντοι αὐτοῦ καθελὼν πολλὴν τὸ
to-fight-it-out (a)-part however of-it having-pulled-down great the
λοιπὸν εἴασεν.
rest he-left

8.12 Ὑπὸ τοῦτον τὸν χρόνον Ῥωμαῖός τις αὐτῷ προσελθών,
about this the time Roman some to-him having-come
Καλαβρὸς γένος, ἠτιᾶτο τῶν δορυφόρων τῶν αὐτοῦ τινα
(a)-Calabrian by-race accused of-the guards the his one
τὴν παῖδα παρθένον οὖσαν οὔτι ἑκουσίαν βιάσασθαι.
the daughter (a)-virgin being not-at-all willing to-have-violated

καὶ ὃς τὸν ἄνθρωπον οὐκ ἀπαρνηθέντα τὸ ἔγκλημα 8.13
and he the man not having-denied the charge
τίσασθαι τῆς ἁμαρτάδος ἐν σπουδῇ ἔχων ἐν δεσμωτηρίῳ
to-punish for-the sin in zeal having in prison
καθεῖρξε.
shut-up
δείσαντες δὲ ἀμφ᾽ αὐτὸν τῶν βαρβάρων οἱ δοκιμώτατοι 8.14
having-feared and about him of-the barbarians the most-notable
(δραστήριος γάρ τις ἀνὴρ ἐτύγχανεν ὢν καὶ ἀγαθὸς
energetic for some man he-happened being and good
τὰ πολέμια) ξυλλεγέντες εὐθὺς καὶ Τουτίλᾳ ἐς ὄψιν
in-the(-things) of-war having-gathered at-once and to-Totila into sight
ἐλθόντες ἐδέοντο τῷ ἀνθρώπῳ τὴν αἰτίαν ἀφεῖναι.
having-come begged for-the man the charge to-remit
ὁ δὲ πρᾴως τε καὶ ταραχῇ οὐδεμιᾷ τῶν λεγομένων 8.15
he and mildly both and with-disturbance no of-the(-things) said
τὴν μάθησιν ποιησάμενος ἔλεξε τοιάδε “Οὐκ ἀπανθρωπίας
the learning having-made said such(-things) not of-inhumanity
ὑπερβολῇ εἴκων οὐδὲ ξυγγενῶν ὑπερηδόμενος ξυμφοραῖς,
to-excess yielding nor of-kinsmen rejoicing at-misfortunes
ἀλλ᾽ ὡς ἔνι μάλιστα δεδιὼς μή τι Γότθοις ξυμβήσεται
but as possible most fearing lest something to-Goths will-befall
φλαῦρον, ἐς λόγους τούσδε, ὦ ξυστρατιῶται, καθίσταμαι.
bad to words these O fellow-soldiers I-proceed
ἐγὼ μὲν οὖν τοῦτο οἶδα, ὡς τῶν ἀνθρώπων ὁ πολὺς 8.16
I indeed then this know that of-the men the great
ὅμιλος τὰ τῶν πραγμάτων ὀνόματα μεταβάλλουσιν ἐπὶ
throng the of-the things names change to
τοὐναντίον.
the-opposite

8.17 φιλανθρωπίαν μὲν γὰρ καλεῖν τὴν παρανομίαν
humanity indeed for to-call the lawlessness
εἰώθασιν, ἐξ ἧς διεφθάρθαι τε τὰ χρηστὰ πάντα
they-are-accustomed from which to-have-been-ruined both the good(-things) all
καὶ ξυντεταράχθαι ξυμβαίνει, σκαιὸν δὲ καὶ ἀτεχνῶς
and to-have-been-confounded it-befalls gauche and and utterly
δύσκολον, ὃς ἂν τὰ νόμιμα περιστέλλειν ἐς τὸ ἀκριβὲς
difficult who — the laws to-protect to the exact
βούληται, ὅπως δὴ τοῖς ὀνόμασι τούτοις παραπετάσμασιν
wishes so-that indeed the names these as-screens
ἐς τὴν ἀσέλγειαν χρώμενοι ἀδεέστερον ἐξαμαρτάνειν τε
for the licentiousness using more-fearlessly to-sin both
ἱκανοὶ εἶεν καὶ τὴν μοχθηρίαν ἐνδείκνυσθαι.
able they-may-be and the wickedness to-display

8.18 ὑμῖν δὲ παραινῶ μὴ τῆς ὑμῶν αὐτῶν σωτηρίας ἁμαρτάδα
to-you and I-advise not for-the of-you yourselves safety (the)-sin
ἑνὸς ἀνδρὸς ἀνταλλάξασθαι, μηδὲ τοῦ μιάσματος τοῦδε
of-one man to-exchange nor of-the pollution this
αὐτοὶ τὸ μέρος οὐδὲν ἀδικοῦντες μεταλαχεῖν. τό τε
yourselves the part nothing doing-wrong to-share the both
γὰρ ἐξαμαρτεῖν καὶ τὸ διακωλύειν τὴν ἐς τοὺς
for to-sin and the to-prevent the toward the(-ones)
ἐξημαρτηκότας τιμωρίαν, οἶμαι, ἐν ἴσῳ ἐστί.
having-sinned punishment I-think on equal(-terms) is

8.19 βούλομαι τοίνυν οὑτωσὶ σκοπουμένους ὑμᾶς ποιήσασθαι
I-wish therefore thus considering you to-make
τὴν ὑπὲρ τῶν παρόντων διάγνωσιν, ὡς νῦν αἵρεσις ὑμῖν
the about the present(-things) decision that now (a)-choice to-you
δυοῖν πρόκειται, ἢ τὸν ἄνδρα τοῦτον ὧν ἠδίκηκε
of-two lies-before either the man this for-what he-has-wronged

μὴ δοῦναι τὴν δίκην, ἢ τὸ Γότθων γένος σεσῶσθαί
not to-pay the penalty or the of-Goths race to-have-been-saved
τε καὶ τὸ τοῦ πολέμου κεκτῆσθαι κράτος.
both and the of-the war to-have-won mastery
σκέψασθε γάρ· ἦν ἡμῖν κατ' ἀρχὰς τοῦδε τοῦ 8.20
consider for there-was for-us at (the)-beginnings of-this the
πολέμου στρατιωτῶν μὲν πλῆθος δόξῃ τε καὶ τῇ ἐς
war of-soldiers indeed (a)-multitude in-reputation both and in-the in
τοὺς κινδύνους ἐμπειρίᾳ λαμπρόν, χρήματα δὲ ξυνελόντα
the dangers experience brilliant money and in-sum
εἰπεῖν ἀριθμοῦ κρείσσω, ἵππων δὲ καὶ ὅπλων περιουσίας
to-say than-number greater of-horses and and arms of-abundance
ὑπερβολή τις, καὶ πάντα ὅσα ἔν γε Ἰταλιώταις
excess some and all as-many-as among at-least Italians
ὀχυρώματά ἐστιν. καὶ ταῦτα γὰρ οὐκ ἀχρεῖα παντάπασιν
strongholds are and these for not useless altogether
εἶναι δοκεῖ τοῖς ἐς πόλεμον καθισταμένοις ἐφόδια.
to-be seem to-the(-ones) for war setting-out provisions
ἐπεὶ δὲ ὑπὸ Θευδάτῳ ταττόμενοι, ἀνδρὶ τὸ δίκαιον περὶ 8.21
when and under Theodatus ranged (a)-man the just of
ἐλάσσονος τῆς ἐς τὸ πλουτεῖν ἐπιθυμίας πεποιημένῳ, ἵλεων
less than-the for the to-be-rich desire having-made gracious
ἡμῖν αὐτοῖς τὸν θεὸν παρανομίᾳ τῇ ἐς τὴν δίαιταν ὡς ἥκιστα
to-us ourselves — God by-lawlessness the in the way-of-life as least
κατεστήσαμεν, ὅπη ποτὲ κεχώρηκεν ἡμῖν ἡ τύχη ἐπίστασθε
we-made where ever has-gone for-us the fortune you-know
δή που, ὑφ' οἵων τε καὶ ὁπόσων ἡσσημένοις ἀνδρῶν.
indeed somehow by what-sort both and how-many defeated men
νῦν δὲ τὴν δίκην παρ' ἡμῶν ὁ θεὸς ὢν ἐξημάρτομεν 8.22
now and the penalty from us — God for-what we-sinned
ἱκανῶς ἔχων αὖθις ἡμῖν κατὰ τὸ βούλημα ῥυθμίζει τὸν
sufficiently having again for-us according-to the will orders the

βίον καὶ τὸ ξύμπαν εἰπεῖν ἄμεινον ἡμῖν ἢ κατ᾽ ἐλπίδα
life and the whole to-say better for-us than according-to hope
τὰ πράγματα ἄγει, οἷς γε ὑπὲρ τὴν ὑπάρχουσαν
the affairs leads for-whom at-least beyond the existing
δύναμιν νενικηκέναι τοὺς πολεμίους τετύχηκε·
power to-have-conquered the enemies it-has-happened

8.23 περιστέλλειν οὖν τὴν τῆς νίκης πρόφασιν τῷ τὰ δίκαια
to-protect then the of-the victory cause by-the the just(-things)
πράσσειν ξυνοίσει μᾶλλον ἢ ἀπ᾽ ἐναντίας αὐτῇ
to-do will-be-advantageous rather than from opposite to-it
ἰόντας φθονεροὺς ἡμᾶς ἐφ᾽ ἡμῖν αὐτοῖς γεγενῆσθαι δοκεῖν.
going envious us of us ourselves to-have-become to-seem

8.24 οὐ γὰρ ἔστιν, οὐκ ἔστι, τὸν ἀδικοῦντα καὶ βιαζόμενον ἐν
not for it-is not it-is the(-one) doing-wrong and violating in
τοῖς ἀγῶσιν εὐδοκιμεῖν, ἀλλὰ πρὸς τὸν βίον ἑκάστου ἡ
the contests to-win-glory but according-to the life of-each the
τοῦ πολέμου πρυτανεύεται τύχη.” Τουτίλας μὲν τοσαῦτα
of-the war is-presided-over fortune Totila indeed so-much
εἶπεν.
said

8.25 ἐπαινέσαντες δὲ τὰ εἰρημένα οἱ Γότθων λόγιμοι
having-approved and the(-things) said the of-Goths notable(-men)
τὸν δορυφόρον οὐκέτι ἐξητοῦντο, ἀλλ᾽ εἴων ὅπως ποτὲ
the guard no-longer demanded-off but allowed as ever
αὐτῷ πράσσειν δοκοίη. καὶ ὃς τὸν μὲν ἄνθρωπον
to-him to-do it-might-seem(-good) and he the indeed man
οὐκ ἐς μακρὰν διεχρήσατο, τὰ δὲ χρήματα, ὅσα δὴ
not at long put-to-death the and money as-much-as indeed
αὐτοῦ ἐτύγχανεν ὄντα, τῇ βιασθείσῃ παρέσχετο.
his happened being to-the(-one) violated gave

Ἐν ᾧ δὲ ταῦτα Τουτίλας ἔπρασσεν, ἐν τούτῳ οἱ 9.1
in which and these(-things) Totila was-doing in this the
τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες ξὺν τοῖς στρατιώταις
of-the of-Romans army commanders with the soldiers
τὰ τῶν κατηκόων χρήματα ἥρπαζον, καὶ ὕβρεώς τε
the of-the subjects money plundered and of-insolence both
καὶ ἀσελγείας οὐδ' ὁτιοῦν ὑπελίποντο, ἀλλ' οἱ μὲν
and of-licentiousness not-even anything left-out but the indeed
ἄρχοντες ἐν τοῖς ὀχυρώμασιν ἔχοντες ἐρωμένας ἐκώμαζον,
commanders in the strongholds having mistresses reveled
οἱ δὲ στρατιῶται ἀπειθεστέρους αὑτοὺς τοῖς ἄρχουσι
the and soldiers more-disobedient themselves to-the commanders
παρεχόμενοι εἰς πᾶσαν ἰδέαν ἀτοπίας ἐνέπιπτον.
showing into every form of-outrageousness fell
τοῖς τε Ἰταλιώταις περιῆν ἅπασι πάσχειν τὰ χαλεπώτατα 9.2
to-the both Italians it-was-left all to-suffer the hardest(-things)
πρὸς ἑκατέρων τῶν στρατοπέδων.
from each of-the armies
τοὺς μὲν γὰρ ἀγροὺς ἐστέρηντο πρὸς τῶν πολεμίων, 9.3
the indeed for fields they-had-been-robbed-of by the enemies
ὑπὸ δὲ τοῦ βασιλέως στρατοῦ ἔπιπλα πάντα.
by and the of-(the)-emperor army (the)-furniture all
καὶ προσῆν αὐτοῖς αἰκίζεσθαί τε καὶ οὐδενὶ λόγῳ
and it-befell them to-be-maltreated both and for-no reason
διαφθείρεσθαι, τῶν ἀναγκαίων τῇ ἀπορίᾳ πιεζομένοις.
to-be-destroyed of-the necessities by-the want oppressed
οἱ γὰρ στρατιῶται ἀμύνειν σφίσι κακουμένοις πρὸς τῶν 9.4
the for soldiers to-defend them maltreated by the
πολεμίων οὐδαμῇ ἔχοντες οὐχ ὅσον ἐρυθριᾶν ὡς ἥκιστα
enemies in-no-way being-able not only to-blush as least

ἐπὶ τοῖς παροῦσιν ἐγίνωσκον, ἀλλὰ καὶ τοὺς βαρβάρους
at the present(-things) knew but even the barbarians
ποθεινοὺς αὐτοῖς εἶναι οἷς ἐξημάρτανον ἀπειργάζοντο.
longed-for by-them to-be by-what they-sinned brought-about

9.5 οἷς δὴ Κωνσταντιανὸς ἀπορούμενος γράμματα
at-which indeed Constantianus being-at-a-loss letters
Ἰουστινιανῷ βασιλεῖ ἔπεμψεν, ἄντικρυς ἀποφαίνων ὅτι
to-Justinian emperor sent openly declaring that
δὴ Γότθων τῷ πολέμῳ ἀντέχειν ἀδύνατος εἴη.
indeed of-Goths the war to-withstand unable be-was

9.6 οἵ τε ἄλλοι ἄρχοντες, ὥσπερ τὴν γνώμην ἐπιψηφίζοντες,
the both other commanders as the opinion voting-for
ἐν τούτῳ δὴ τῷ γραμματείῳ τὴν ὁμολογίαν ἐσήμαινον
in this indeed the document the acknowledgment signified
τῆς ἐς τὴν ἀγωνίαν ὀκνήσεως. Ἰταλιώταις μὲν τὰ
of-the for the struggle shrinking to-Italians indeed the
πράγματα ἐφέρετο τῇδε. Τουτίλας δὲ Ῥωμαίων τῇ
affairs went in-this-way Totila and of-Romans to-the
βουλῇ ἐπιστολὴν ἔπεμψεν.
senate (a)-letter sent

9.7 ἐδήλου δὲ ἡ γραφὴ τάδε “Ὅσοι μὲν ἀδικοῦσι τοὺς
showed and the writing these(-things) as-many-as indeed wrong the
πέλας ἢ προλαβούσης ἀγνοίας ἴσως ἢ λήθης ἐπιγενομένης
neighbors either having-preceded ignorance perhaps or forgetfulness having-supervened
τινός, τούτοις ἄξιον τοὺς τὰ δεινὰ πεπονθότας
some to-these worthy the(-ones) the terrible(-things) having-suffered
συγγνώμονας εἶναι. τὸ γὰρ τῆς ἁμαρτάδος ξυμπεσὸν
forgiving to-be the for of-the sin having-befallen
αἴτιον τῶν ἐγκλημάτων αὐτοῖς παραιτεῖται τὸ πλεῖστον.
cause of-the charges for-them begs-off the most

ἢν δέ τις ἐκ προνοίας ἀδικῇ μόνης, τούτῳ δὲ μηδὲ 9.8
if and any(-one) from forethought wrong alone to-this and not-even
ἀντιλέγειν ποτὲ περὶ τῶν πεπραγμένων λελείψεται.
to-gainsay ever about the(-things) done will-be-left
οὐ γὰρ τοῦ ἔργου μόνον, ἀλλὰ καὶ τῆς γνώμης αὐτὸς 9.9
not for of-the deed only but also of-the intention he
φέρεσθαι τὴν αἰτίαν δίκαιος ἂν εἴη.
to-bear the blame just — would-be
οὐκοῦν, ἐπειδὴ ταῦτα οὕτως ἔχει, λογίζεσθε ἤδη τί 9.10
then since these(-things) thus are consider now what
ποτε ἄρα ὑμῖν ἀπολελογῆσθαι πρὸς τὰ ἐς Γότθους
ever then for-you to-have-made-defense against the(-things) toward Goths
εἰργασμένα ξυμβήσεται· πότερα ὑμᾶς ἀγνοεῖν τὰς
done will-befall whether you to-be-ignorant-of the
Θευδερίχου τε καὶ Ἀμαλασούνθης εὐεργεσίας τετύχηκεν, ἢ
of-Theoderic both and of-Amalasuntha benefits has-happened or
χρόνῳ τε αὐτὰς καὶ λήθῃ ἐν ὑμῖν ἐξιτήλους εἶναι;
by-time both them and by-forgetfulness among you obliterated to-be
καίτοι οὐκ ἔστι τούτων οὐδέτερον. οὐ γὰρ ἐπὶ φαύλοις 9.11
and-yet not is of-these neither not for on mean
τισὶν οὐδὲ εἰς τοὺς ὑμετέρους τὰς χάριτας αὐτούς, κατὰ
some nor toward the yours the favors them in
δὴ τὸν παλαιὸν χρόνον, ἐπιδεδεῖχθαι ξυνέβη, ἀλλ' ἐν
indeed the old time to-have-been-shown it-happened but in
τοῖς ἀναγκαιοτάτοις ἔς γε ὑμᾶς αὐτοὺς ἔναγχός τε
the most-necessary(-things) toward at-least you yourselves lately both
καὶ ἐξ ὑπογυίου, ὦ φίλοι Ῥωμαῖοι.
and from (the)-immediate O friends Romans

9.12 ἀλλὰ τὴν Γραικῶν ἐς τὸ ὑπήκοον ἀρετὴν ἢ ἀκοῇ
but the of-Greeks toward the subject virtue either by-hearing
λαβόντες ἢ πείρᾳ μαθόντες οὕτω δὴ προήσεσθαι
having-received or by-experience having-learned thus indeed to-give-up
αὐτοῖς τὰ Γότθων τε καὶ Ἰταλιωτῶν πράγματα ἔγνωτε;
to-them the of-Goths both and of-Italians affairs you-resolved

9.13 καίτοι ἐξεναγεῖσθε μὲν ὑμεῖς αὐτούς, οἶμαι, ἄριστα, ὁποίων
and-yet you-entertain indeed you them I-think best what-sort
δὲ αὐτῶν ἐτύχετε ξένων καὶ φίλων ἐπίστασθε δή που,
and of-them you-got guests and friends you-know indeed somehow
εἴ τι τῶν Ἀλεξάνδρου μέμνησθε λογισμῶν.
if anything of-the of-Alexander you-remember reckonings

τε καὶ ἐκάκισεν, οἳ δὴ πολλὰ πρός τε Θευδερίχου καὶ
both and reviled(-them) who indeed many from both Theoderic and
Ἀταλαρίχου ἀγαθὰ πεπονθότες, ἐπί τε τῆς ἀρχῆς ἁπάσης
Atalaric goods having-experienced over both the rule all
αὐτοὶ ἐς ἀεὶ καταστάντες καὶ τήν τε πολιτείαν
they-themselves for ever set and the both commonwealth

διοικησάμενοι, πλούτου τε περιβεβλημένοι μέγα τι χρῆμα,
having-administered of-wealth both having-acquired great some quantity
εἶτα ἐς Γότθους τοὺς εὐεργέτας πολλῇ ἀγνωμοσύνῃ
then toward Goths the benefactors with-much ingratitude
ἐχόμενοι, ἐς ἀπόστασίν τε οὐ δέον ἐπὶ τῷ σφετέρῳ πονηρῷ
possessed to revolt both not needful to the their-own harm
ἴδοιεν καὶ τοὺς Γραικοὺς ἐπὶ τῇ πατρίδι ἐπαγάγοιντο,
they-should-look and the Greeks against the fatherland they-should-bring-in
προδόται σφῶν αὐτῶν ἐκ τοῦ αἰφνιδίου γεγενημένοι.
betrayers of-them selves out-of the sudden having-become
καὶ ἀνεπυνθάνετο μὲν εἴ τι πρὸς Γότθων πάθοιεν 21.13
and he-inquired indeed if any from Goths they-had-suffered
αὐτοὶ κακὸν πώποτε.
they-themselves evil ever
λέγειν δὲ ἠνάγκαζεν, εἴ τι ἀγαθὸν σφίσι πρὸς 21.14
to-say and he-compelled(-them) if any good to-them from
Ἰουστινιανοῦ βασιλέως ξυμβαίνοι, καταλέγων ἐφεξῆς
Justinian emperor had-befallen recounting in-order
ἅπαντα, ὅτι δὴ τὰς μὲν ἀρχὰς ἀφῄρηντο σχεδόν
all(-things) that indeed the indeed offices they-had-been-deprived-of nearly
τι ἁπάσας, πρὸς δὲ τῶν καλουμένων λογοθετῶν
somewhat all by and the so-called logothetes
αἰκιζόμενοι λογισμοὺς ἐκτίνειν τῶν σφίσιν ἐς
maltreated accounts to-pay of-the(-things) by-them toward
Γότθους πεπολιτευμένων ἀναγκασθεῖεν καὶ τῷ πολέμῳ
Goths administered they-had-been-compelled and by-the war
κεκακωμένοι φόρους τοὺς δημοσίους οὐδέν τι ἐνδεέστερον
afflicted taxes the public nothing at-all less
ἢ ἐν τῇ εἰρήνῃ τοῖς Γραικοῖς φέροιεν· ἄλλα τε πολλὰ
than in the peace to-the Greeks they-paid other both many(-things)

ἐνετίθει τῷ λόγῳ, ὅσα δεσπότην δυσμενῆ τοὺς
he-put-in the speech as-many-as (a)-master hostile the(-ones)
δεδουλωμένους ὀνειδίζειν εἰκός.
enslaved to-reproach (is)-likely

21.15 Ἡρωδιανόν τε αὐτοῖς ἐνδεικνύμενος καὶ τοὺς τὴν πόλιν
Herodian both to-them pointing-out and the(-men) the city
αὐτῷ παραδόντας Ἰσαύρους "Ὑμεῖς μὲν" ἔφη "ξύντροφοι
to-him having-handed-over Isaurians you indeed he-said fellow-nurslings
Γότθοις γεγενημένοι οὐδὲ χῶρόν τινα ἔρημον ἐς τήνδε
to-Goths having-become not-even place any deserted to this
ἡμῖν ἐνδιδόναι τὴν ἡμέραν ἐγνώκατε, οἵδε δὲ ἡμᾶς Ῥώμῃ
to-us to-surrender the day resolved these and us into-Rome
τε αὐτῇ καὶ Σπολιτίῳ ἐδέξαντο.
both itself and Spolitium received

21.16 διόπερ ὑμεῖς μὲν ἐν οἰκετῶν λόγῳ γεγένησθε, οὗτοι δὲ
wherefore you indeed in of-slaves account have-become these and
Γότθοις φίλοι τε, ὡς τὸ εἰκός, καὶ ξυγγενεῖς γεγενημένοι
to-Goths friends both as the likely and kinsmen having-become
τὰς ὑμετέρας ἀρχὰς τὸ λοιπὸν ἕξουσιν."
the your offices the rest will-have

21.17 οἱ μὲν οὖν πατρίκιοι ταῦτα ἀκούοντες σιωπῇ εἶχοντο.
the indeed then patricians these(-things) hearing in-silence kept
Πελάγιος δὲ Τουτίλαν ὑπὲρ ἀνδρῶν ἐπταικότων τε καὶ
Pelagius and Totila for men having-stumbled both and
δεδυστυχηκότων παραιτούμενος οὐκέτι ἀνίει, ἕως αὐτοὺς
having-been-unfortunate entreating no-longer let-up until them
φιλανθρωπίας ὑπόσχεσιν ποιησάμενος ἀπεπέμψατο.
of-humanity (a)-promise having-made he-sent-away

21.18 Ἔπειτα δὲ Πελάγιόν τε καὶ τῶν ἐν Ῥώμῃ ῥητόρων
then and Pelagius both and of-the in Rome orators
ἕνα, Θεόδωρον ὄνομα, πρέσβεις ἐς βασιλέα Ἰουστινιανὸν
one Theodorus by-name (as)-envoys to (the)-emperor Justinian

ἔστειλεν, ὅρκοις αὐτοὺς δεινοτάτοις καταλαβών, ὅτι τε
he-sent with-oaths them most-terrible having-bound that both
εὐνοίᾳ ἐς αὐτὸν χρήσονται καὶ ἀναστρέφειν ὅτι
with-goodwill toward him they-will-act and to-return as
τάχιστα ἐς τὴν Ἰταλίαν ἐν σπουδῇ ἕξουσιν.
quickest to — Italy in zeal they-will-have
ἐπέστελλέ τε αὐτοῖς τὴν εἰρήνην οἱ παντὶ σθένει παρὰ 21.19
he-enjoined both them the peace for-him with-all strength from
βασιλέως πορίζεσθαι, ὅπως δὴ μὴ αὐτὸς ἀναγκάζηται
(the)-emperor to-procure so-that indeed not he be-compelled
Ῥώμην ἐς ἔδαφος καθελὼν ξύμπασαν καὶ τοὺς ἐκ
Rome to ground having-pulled-down whole and the(-men) from
τῆς συγκλήτου διαφθείρας βουλῆς ἐς Ἰλλυριοὺς τὸν πόλεμον
the senatorial having-destroyed council to Illyrians the war
ἄγειν. καὶ γράμματα δὲ Ἰουστινιανῷ βασιλεῖ ἔγραψεν.
to-lead and letters too to-Justinian emperor he-wrote
ἤδη μὲν οὖν βασιλεὺς ἠκηκόει τὰ ἐν Ἰταλίᾳ 21.20
already indeed then (the)-emperor had-heard the(-things) in Italy
ξυμπεπτωκότα. ἐπεὶ δὲ καὶ οἱ πρέσβεις παρ᾽ αὐτὸν ἦλθον,
having-happened when and also the envoys to him came
ἀπήγγειλάν τε ὅσα ὁ Τουτίλας σφίσιν ἐπέστελλε καὶ
they-reported both as-much-as — Totila them enjoined and
τὴν ἐπιστολὴν ἐνεχείρισαν.
the letter put-into-his-hands
ἐδήλου δὲ ἡ γραφὴ τάδε “Ὅσα μὲν ἐν Ῥωμαίων 21.21
showed and the writing these(-things) as-much-as indeed in of-Romans
τῇ πόλει γενέσθαι ξυνέβη, ἐπεὶ μεμαθηκέναι σε ἅπαντα
the city to-happen befell since to-have-learned you all
οἶμαι, σιωπᾷν ἔγνωκα.
I-think to-be-silent I-have-resolved

21.22 ὧν δὲ ἕνεκα τοὺς πρέσβεις ἀπέσταλκα τούσδε αὐτίκα
of-what and for-the-sake the envoys I-have-sent these at-once
εἴσῃ. αἰτούμεθα τὰ ἐκ τῆς εἰρήνης καλὰ σέ τε
you-will-know we-ask the from the peace good(-things) you both
προσίεσθαι αὐτὸν καὶ ἡμῖν ξυγχωρεῖν.
to-accept yourself and to-us to-grant

21.23 ὧνπερ μνημεῖά τε καὶ παραδείγματα κάλλιστα ἔχομεν
of-which-very memorials both and examples finest we-have
Ἀναστάσιόν τε καὶ Θευδέριχον, οἳ βεβασιλεύκασι μὲν
Anastasius both and Theoderic who reigned indeed
οὐ πολλῷ πρότερον, εἰρήνης δὲ καὶ ἀγαθῶν πραγμάτων
not much before of-peace and and of-good affairs
ἅπαντα ἐνεπλήσαντο τὸν κατ᾽ αὐτοὺς χρόνον.
all filled the in their time

21.24 ἦν γάρ σοι ταῦτά ποτε βουλομένῳ εἴη, πατήρ τε ἂν
if for to-you these(-things) ever wishing be father both —
ἐμὸς εἰκότως καλοῖο καὶ ξυμμάχους ἡμᾶς ἐφ᾽ οὓς
my fittingly you-would-be-called and allies us against whom
ἂν βούλοιο τὸ λοιπὸν ἕξεις.”
— you-might-wish the rest you-will-have

21.25 ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἀπενεχθέντα εἶδε,
these(-things) when (the)-emperor Justinian delivered saw
καὶ τοὺς λόγους τῶν πρέσβεων ἅπαντας ἤκουσεν,
and the words of-the envoys all heard
ἀπεπέμψατο αὐτοὺς αὐτίκα δὴ μάλα, τοῦτό τε μόνον
he-sent-away them at-once indeed very this both only
αὐτοῖς ἀποκρινόμενος καὶ Τουτίλᾳ γράψας, ὅτι δὴ
to-them answering and to-Totila having-written that indeed
αὐτοκράτορα τοῦ πολέμου πεποίηται Βελισάριον, κύριός

τε διὰ τοῦτο ἐκεῖνος εἴη τὰ πρὸς Τουτίλαν ὅπως
both because-of this that(-one) was the(-things) toward Totila as
βούλοιτο διοικήσασθαι.
he-might-wish to-manage

Ἐν ᾧ δὲ οἱ πρέσβεις οὗτοι ἐς Βυζάντιον καὶ αὖθις 22.1
in which and the envoys these to Byzantium and again
ἐς Ἰταλίαν ἐστέλλοντο, ἐν τούτῳ ἐν Λευκανοῖς τάδε
to Italy were-being-sent in this in Lucanians these(-things)
ξυνηνέχθη γενέσθαι.
befell to-happen

Τουλλιανὸς τοὺς ἐκείνῃ ἀγροίκους ἀγείρας τὴν εἴσοδον 22.2
Tullianus the there rustics having-gathered the entrance
στενοτάτην οὖσαν ἐφύλασσεν, ὅπως μὴ οἱ πολέμιοι
narrowest being guarded so-that not the enemies
κακουργήσοντες ἴοιεν ἐς τὰ ἐπὶ Λευκανίας χωρία.
going-to-do-harm should-go to the toward Lucania places

καὶ Ἄνται δὲ αὐτοῖς τριακόσιοι ξυνεφύλασσον, οὕσπερ 22.3
and Antae too with-them three-hundred guarded whom-very
Ἰωάννης ἐνταῦθα δεηθέντι Τουλλιανῷ ἀπολιπὼν πρότερον
John there having-asked to-Tullianus having-left before
ἔτυχεν· ἀγαθοὶ γὰρ οἱ βάρβαροι οὗτοι μάχεσθαι ἐν
happened good for the barbarians these to-fight in
δυσχωρίαις πάντων μάλιστα.
rough-places of-all most

ἅπερ ἐπεὶ ὁ Τουτίλας ἔμαθε, Γότθους μὲν ἐς τὸ ἔργον 22.4
which-very when — Totila learned Goths indeed into the work
καθεῖναι ἀξύμφορον ᾤετο εἶναι, ἀγροίκων δὲ πλῆθος
to-send-in unprofitable he-thought to-be of-rustics and (a)-multitude
ἀγείρας, Γότθων τε ξυμπέμψας αὐτοῖς ὀλίγους τινάς,
having-gathered of-Goths both having-sent-with them few some
ἐκέλευε τῆς εἰσόδου σθένει παντὶ ἀποπειρᾶσθαι.
he-ordered the entrance with-strength all to-make-trial-of

22.5 οἵπερ ἐπειδὴ ἀλλήλοις ξυνέμιξαν, ὠθισμὸς μὲν
who-very when with-one-another engaged (a)-pushing indeed
ἀμφοτέρων πολὺς ἐγεγόνει, Ἄνται δὲ τῇ σφετέρᾳ ἀρετῇ,
of-both great arose Antae and by-the their-own valor
ἅμα δὲ καὶ τῆς δυσχωρίας σφίσι ξυλλαμβανούσης, ξὺν
together and also the rough-ground them assisting with
τοῖς ἀμφὶ Τουλλιανὸν ἀγροίκοις τοὺς ἐναντίους ἐτρέψαντο.
the about Tullianus rustics the opponents routed
22.6 φόνος τε αὐτῶν ἐγεγόνει πολύς. γνοὺς δὲ ταῦτα
slaughter both of-them arose great having-learned and these(-things)
ὁ Τουτίλας ἔγνω Ῥώμην μὲν καθελεῖν ἐς ἔδαφος, τοῦ
— *Totila resolved Rome indeed to-pull-down to ground of-the*
δὲ στρατοῦ τὸ μὲν πλεῖστον ἐνταῦθά πη ἀπολιπεῖν,
and army the indeed most there somewhere to-leave
τῷ δὲ ἄλλῳ ἐπί τε Ἰωάννην καὶ Λευκανοὺς ἰέναι.
with-the and other against both John and Lucanians to-go
22.7 τοῦ μὲν οὖν περιβόλου ἐν χώροις πολλοῖς τοσοῦτον
of-the indeed then circuit-wall in places many so-much
καθεῖλεν ὅσον ἐς τριτημόριον τοῦ παντὸς μάλιστα.
he-pulled-down as-much-as to (a)-third-part of-the whole about
ἐμπιπρᾶν δὲ καὶ τῶν οἰκοδομιῶν τὰ κάλλιστά τε
to-burn and also of-the buildings the finest both
καὶ ἀξιολογώτατα ἔμελλε, Ῥώμην τε μηλόβοτον
and most-notable he-was-about Rome both (a)-sheep-pasture
καταστήσεσθαι, ἀλλὰ Βελισάριος μαθὼν πρέσβεις τε
to-make but Belisarius having-learned envoys both
καὶ γράμματα παρ᾽ αὐτὸν ἔπεμψεν.
and letters to him sent
22.8 οἵπερ ἐπειδὴ Τουτίλᾳ ἐς ὄψιν ἦλθον, εἵπόν τε ὧν
who-very when to-Totila into sight came they-told both of-what
ἕνεκα ἥκοιεν καὶ τὰ γράμματα ἐνεχείρισαν. ἐδήλου
for-the-sake they-had-come and the letters put-into-his-hands showed

δὲ ἡ γραφὴ τάδε “Πόλεως μὲν κάλλη οὐκ ὄντα
and the writing these(-things) of-(a)-city indeed beauties not being
ἐργάζεσθαι ἀνθρώπων ἂν φρονίμων εὑρήματα εἶεν καὶ
to-create of-men — wise inventions would-be and
πολιτικῶς βιοτεύειν ἐπισταμένων, ὄντα δὲ ἀφανίζειν τούς
as-citizens to-live knowing being and to-destroy the(-ones)
γε ἀξυνέτους εἰκὸς καὶ γνώρισμα τοῦτο τῆς αὑτῶν
at-least foolish (is)-likely and (a)-token this of-the their-own
φύσεως οὐκ αἰσχυνομένους χρόνῳ τῷ ὑστέρῳ ἀπολιπεῖν.
nature not being-ashamed in-time the later to-leave
Ῥώμη μέντοι πόλεων ἁπασῶν, ὅσαι ὑφ’ ἡλίῳ 22.9
Rome however of-cities all as-many-as under (the)-sun
τυγχάνουσιν οὖσαι, μεγίστη τε καὶ ἀξιολογωτάτη
happen being greatest both and most-notable
ὡμολόγηται εἶναι.
is-agreed to-be
οὐ γὰρ ἀνδρὸς ἑνὸς ἀρετῇ εἴργασται οὐδὲ χρόνου βραχέος 22.10
not for of-man one by-valor it-has-been-made nor of-time short
δυνάμει ἐς τόσον μεγέθους τε καὶ κάλλους ἀφῖκται, ἀλλὰ
by-power to so-much of-greatness both and of-beauty it-has-come but
βασιλέων μὲν πλῆθος, ἀνδρῶν δὲ ἀρίστων συμμορίαι
of-kings indeed (a)-multitude of-men and best companies
πολλαί, χρόνου τε μῆκος καὶ πλούτου ἐξουσίας ὑπερβολὴ
many of-time both length and of-wealth of-abundance excess
τά τε ἄλλα πάντα ἐκ πάσης τῆς γῆς καὶ τεχνίτας
the both other(-things) all from all the earth and artisan
ἀνθρώπους ἐνταῦθα ξυναγαγεῖν ἴσχυσαν.
men there to-bring-together were-able
οὕτω τε τὴν πόλιν τοιαύτην, οἵανπερ ὁρᾷς, κατὰ 22.11
thus both the city such such-as-very you-see by
βραχὺ τεκτηνάμενοι, μνημεῖα τῆς πάντων ἀρετῆς τοῖς
little having-built memorials of-the of-all virtue to-the(-ones)

ἐπιγενησομένοις ἀπέλιπον, ὥστε ἡ ἐς ταῦτα ἐπήρεια
coming-after they-left so-that the toward these(-things) outrage
εἰκότως ἂν ἀδίκημα μέγα ἐς τοὺς ἀνθρώπους τοῦ
fittingly — (a)-wrong great toward the men of-the
παντὸς αἰῶνος δόξειεν εἶναι,
whole age would-seem to-be
22.12 ἀφαιρεῖται γὰρ τοὺς μὲν προγεγενημένους τὴν τῆς
it-takes-away for from-the(-ones) indeed born-before the of-the
ἀρετῆς μνήμην, τοὺς δὲ ὕστερον ἐπιγενησομένους τῶν
virtue memory from-the and later coming-after of-the
ἔργων τὴν θέαν.
works the sight
22.13 τούτων δὲ τοιούτων ὄντων ἐκεῖνο εὖ ἴσθι, ὡς δυοῖν
these and such being that well know that of-two
ἀνάγκη τὸ ἕτερον εἶναι· ἢ γὰρ ἡσσηθήσῃ βασιλέως
(it-is)-necessity the one to-be either for you-will-be-defeated by-(the)-emperor
ἐν τῷδε τῷ πόνῳ, ἢ περιέσῃ, ἂν οὕτω τύχοι.
in this the toil or you-will-prevail — thus it-might-happen
22.14 ἢν μὲν οὖν νικῴης, Ῥώμην τε καθελών, οὐ τὴν
if indeed then you-should-conquer Rome both having-pulled-down not the
ἑτέρου του, ἀλλὰ τὴν σαυτοῦ ἀπολωλεκὼς ἄν, ὦ βέλτιστε,
of-another any(-one) but the your-own having-destroyed — O best(-one)
εἴης, καὶ διαφυλάξας, κτήματι, ὡς τὸ εἰκός, τῶν
you-would-be and having-preserved(-it) with-(a)-possession as the likely of-the
πάντων καλλίστῳ πλουτήσεις· ἢν δέ γε τὴν χείρω σοι
all finest you-will-be-rich if and at-least the worse to-you
τύχην πληροῦσθαι ξυμβαίη, σώσαντι μὲν Ῥώμην
fortune to-be-fulfilled it-befall to-(you)-having-saved indeed Rome
χάρις ἂν σώζοιτο παρὰ τῷ νενικηκότι πολλή,
gratitude — would-be-preserved with the(-one) having-conquered great

διαφθείραντι δὲ φιλανθρωπίας τε οὐδεὶς ἔτι λελείψεται
to-(you)-having-destroyed(-it) and of-humanity both no still will-be-left
λόγος καὶ προσέσται τὸ μηδὲν τοῦ ἔργου ἀπόνασθαι.
account and will-be-added the nothing from-the deed to-have-profited
καταλήψεται δέ σε καὶ δόξα τῆς πράξεως ἀξία πρὸς 22.15
will-overtake and you also (a)-reputation of-the action worthy from
πάντων ἀνθρώπων, ἥπερ ἐφ᾽ ἑκάτερά σοι τῆς γνώμης
all men which-very on both-sides for-you of-the decision
ἑτοίμως ἕστηκεν.
readily stands
ὁποῖα γὰρ ἂν τῶν ἀρχόντων τὰ ἔργα εἴη, τοιοῦτον 22.16
of-what-sort for — of-the rulers the deeds may-be such
ἀνάγκη καὶ ὑπὲρ αὐτῶν ὄνομα φέρεσθαι.” τοσαῦτα μὲν
(it-is)-necessity also about them (a)-name to-be-carried so-much indeed
Βελισάριος ἔγραψε.
Belisarius wrote
Τουτίλας δὲ πολλάκις ἀναλεξάμενος τὴν ἐπιστολὴν καὶ 22.17
Totila and often having-read the letter and
τῆς παραινέσεως ἐς τὸ ἀκριβὲς πεποιημένος τὴν μάθησιν,
of-the exhortation to the exact having-made the learning
ἐπείσθη τε καὶ Ῥώμην εἰργάσατο ἄχαρι περαιτέρω
was-persuaded both and to-Rome did unpleasant further
οὐδέν. σημήνας τε Βελισαρίῳ τὴν αὑτοῦ γνώμην τοὺς
nothing having-signified both to-Belisarius the his-own decision the
πρέσβεις εὐθὺς ἀπεπέμψατο.
envoys at-once sent-away
καὶ τοῦ μὲν στρατοῦ τὸ πλεῖστον μέρος Ῥώμης οὐ πολλῷ 22.18
and of-the indeed army the most part from-Rome not much
ἄποθεν, ἀλλ᾽ ὅσον ἀπὸ σταδίων εἴκοσι καὶ ἑκατὸν
away but as-much-as from stades twenty and hundred
ἐς τὰ πρὸς δύοντα ἥλιον ἐνστρατοπεδευσαμένους
to the(-places) toward setting sun having-encamped

ἐν χωρίῳ Ἀλγηδόνι ἐκέλευεν ἡσυχῇ μένειν, ὅπως δὴ
in (a)-place Algedon ordered quietly to-remain so-that indeed
μηδεμία ἐξουσία τοῖς ἀμφὶ Βελισάριον εἴη ἔξω
no license for-the(-men) about Belisarius might-be outside
πη τοῦ Πόρτου ἰέναι· αὐτὸς δὲ ξὺν τῷ ἄλλῳ στρατῷ
anywhere — Portus to-go he and with the other army
ἐπί τε Ἰωάννην καὶ Λευκανοὺς ἤει.
against both John and Lucanians went

22.19 Ῥωμαίων μέντοι τοὺς μὲν ἐκ τῆς συγκλήτου βουλῆς ξὺν
of-Romans however the indeed from the senatorial council with
αὐτῷ εἶχε, τοὺς δὲ ἄλλους ἅπαντας ξύν τε γυναιξὶ καὶ παισὶν
himself he-had the and others all with both wives and children
ἔστειλεν ἐς τὰ ἐπὶ Καμπανίας χωρία, ἐν Ῥώμῃ ἄνθρωπον
sent to the toward Campania places in Rome man
οὐδένα ἐάσας, ἀλλ' ἔρημον αὐτὴν τὸ παράπαν ἀπολιπών.
no having-left but deserted it at all having-left

22.20 Ἰωάννης δὲ Τουτίλαν οἱ ἐπιέναι μαθών, μένειν ἐπὶ
John and Totila to-him to-be-coming having-learned to-remain in
τῆς Ἀπουλίας οὐκέτι ἠξίου, ἀλλ' ἐς τὸν Δρυοῦντα δρόμῳ
— Apulia no-longer thought-fit but to — Dryus at-(a)-run
ἀφίκετο. τῶν τε πατρικίων οἱ ἐς Καμπανίαν ἀγόμενοι
arrived of-the both patricians the(-ones) to Campania being-led
ἐς Λευκανοὺς πέμψαντες τῶν οἰκείων τινάς, Τουτίλα γνώμῃ,
to Lucanians having-sent of-the household some by-Totila's decision
τοὺς σφετέρους ἀγροίκους ἐκέλευον μεθίεσθαι μὲν τῶν
the their-own rustics ordered to-let-go indeed of-the(-things)
πρασσομένων, τοὺς δὲ ἀγροὺς γεωργεῖν ᾗπερ εἰώθεσαν·
being-done the and fields to-farm as-very they-were-accustomed
ἔσεσθαι γὰρ αὐτοῖς τἀγαθὰ ἀπήγγελλον τῶν κεκτημένων.
to-be for for-them the-goods they-announced of-the owners

οἱ δὲ ἀπετάξαντο μὲν τοῦ Ῥωμαίων στρατοῦ, ἐν δὲ τοῖς 22.21
they and parted indeed from-the of-Romans army in and the
ἀγροῖς ἡσυχῇ ἔμενον· Τουλλιανὸς δὲ φυγὼν ᾤχετο, καὶ οἱ
fields quietly remained Tullianus and having-fled went-off and the
τριακόσιοι Ἄνται παρὰ τὸν Ἰωάννην ἀναχωρεῖν ἔγνωσαν.
three-hundred Antae to — John to-withdraw resolved
οὕτω μὲν ἅπαντα τὰ ἐντὸς κόλπου τοῦ Ἰονίου, 22.22
thus indeed all the(-things) within (the)-gulf the Ionian
πλὴν τοῦ Δρυοῦντος, αὖθις ὑποχείρια Γότθοις τε καὶ
except — Dryus again subject to-Goths both and
Τουτίλᾳ γέγονε. θαρσοῦντες δὲ ἤδη οἱ βάρβαροι καὶ
to-Totila became being-bold and already the barbarians and
κατὰ συμμορίας σκεδαννύμενοι περιῄεσαν κύκλῳ ἅπαντα.
in companies scattering went-around in-(a)-circle all(-things)
ὅπερ Ἰωάννης μαθὼν τῶν οἱ ἑπομένων πολλοὺς ἐπ᾽ 22.23
which-very John having-learned of-the him following many against
αὐτοὺς ἔπεμψεν. οἳ δὴ τοῖς πολεμίοις ἀπροσδόκητοι
them sent who indeed upon-the enemies unexpected
ἐπιπεσόντες πολλοὺς ἔκτειναν.
having-fallen many killed
καὶ ἀπ᾽ αὐτοῦ δείσας ὁ Τουτίλας, ἅπαντάς τε τοὺς 22.24
and from it having-feared — Totila all both the(-men)
ξὺν αὑτῷ ἀγείρας, ἀμφὶ ὄρος τὸ Γάργανον, ὅπερ
with himself having-gathered about (the)-mountain — Garganus which-very
ἐν Ἀπουλίοις που μέσοις ἀνέχει, ἐν τῷ Ἀννίβαλος τοῦ
in Apulians somewhere (the)-midst rises in the of-Hannibal the
Λίβυος χαρακώματι στρατοπεδευσάμενος ἡσυχῇ ἔμενεν.
Libyan stockade having-encamped quietly remained

Martinianus, a feigned deserter, retakes Spolitium; John fortifies the isthmus of Tarentum. Belisarius reoccupies empty Rome, piles stones in the breaches, and beats off three Gothic assaults; caltrops guard the gates. The Goths blame Totila for neither razing nor holding Rome. Before marching on Perusia Totila defends his policy of razing walls and blames fortune for the reverse.

23.1 Ἐν τούτῳ δὲ τῶν τις ξὺν τῷ Κόνωνι ἐκ Ῥώμης
in this and of-the (a)-certain with — Conon from Rome
φυγόντων, ἡνίκα ἡ πόλις ἡλίσκετο, Μαρτινιανὸς ὄνομα,
having-fled when the city was-being-taken Martinianus by-name
Βυζάντιος γένος, Βελισαρίῳ προσελθὼν στέλλεσθαι
(a)-Byzantine by-race to-Belisarius having-come to-be-sent
αὐτόμολος δῆθεν τῷ λόγῳ παρὰ τοὺς πολεμίους ἠξίου,
(as)-deserter forsooth in-the word to the enemies asked
μεγάλα Ῥωμαίους ἐπαγγελλόμενος ἀγαθὰ δράσειν·
great(-things) Romans promising goods to-do
δόξαν τε τοῦτο Βελισαρίῳ, ἀπιὼν ᾤχετο. καὶ
having-seemed-good and this to-Belisarius departing he-went-off and
αὐτὸν ὁ Τουτίλας ἰδὼν ὑπερφυῶς ἥσθη.
him — Totila having-seen extraordinarily was-pleased

23.2 εὐδοκιμοῦντα γὰρ ἐν μονομαχίαις τὸν νεανίαν ἤκουσέ τε
being-of-repute for in single-combats the young-man he-had-heard both
καὶ εἶδε πολλάκις. ὄντων δὲ αὐτῷ παίδων τε δύο καὶ
and seen often being and to-him children both two and
τῆς γυναικὸς ἐν τοῖς αἰχμαλώτοις, τὴν μὲν γυναῖκα καὶ
the wife among the captives the indeed wife and
τῶν παίδων τὸν ἕτερον εὐθὺς τῷ ἀνθρώπῳ ἀπέδωκε, τὸν
of-the children the one at-once to-the man gave-back the

δὲ ἕτερον ἐν ὁμήρου λόγῳ ἐφύλασσεν, ἔς τε Σπολίτιον
and other in of-hostage account kept to both Spolitium
ξὺν ἑτέροις τισὶν ἔπεμψεν.
with others some sent(-him)
ἐτύγχανον δὲ Γότθοι, ἡνίκα Ἡρωδιανοῦ ἐνδιδόντος 23.3
happened and Goths when Herodian surrendering
Σπολίτιον εἷλον, τῆς μὲν πόλεως τὸν περίβολον ἐς τὸ
Spolitium they-took of-the indeed city the circuit-wall to the
ἔδαφος καθελόντες, τοῦ δὲ πρὸ τῆς πόλεως κυνηγεσίου,
ground having-pulled-down of-the and before the city hunting-theater
ὅπερ καλεῖν ἀμφιθέατρον νενομίκασι, τάς τε
which-very to-call amphitheater they-have-been-accustomed the both
εἰσόδους ἐς τὸ ἀκριβὲς ἀποφράξαντες καὶ φρουρὰν
entrances to the exact having-blocked and (a)-garrison
ἐνταῦθα καταστησάμενοι Γότθων τε καὶ Ῥωμαίων τῶν
there having-set of-Goths both and Romans the
αὐτομόλων, ἐφ' ᾧ φυλάξωσι τὰ ἐκείνῃ χωρία.
deserters on which they-should-guard the there places
Μαρτινιανὸς οὖν ἐπειδὴ εἰς Σπολίτιον ἦλθε, στρατιώτας 23.4
Martinianus then when to Spolitium he-came soldiers
πεντεκαίδεκα ἑταιρίσασθαι ἴσχυσεν, οὕσπερ ἀνέπειθε
fifteen to-make-comrades was-able whom-very he-persuaded
δράσαντάς τι ἐς τοὺς βαρβάρους μέγα οὕτω δὴ
having-done something to the barbarians great thus indeed
ἐπανήκειν ἐς τὸ Ῥωμαίων στρατόπεδον.
to-return to the of-Romans camp
στείλας δέ τινας καὶ παρὰ τὸν ἄρχοντα τοῦ ἐν Περυσίᾳ 23.5
having-sent and some also to the commander of-the in Perusia
φυλακτηρίου ἐκέλευέν οἱ στράτευμα ὅτι τάχιστα ἐς
garrison he-ordered him army as quickest to

Σπολίτιον πέμψαι, τοῦ παντὸς λόγου τὴν δήλωσιν
Spolitium to-send of-the whole account the disclosure
ποιησάμενος.
having-made

23.6 Ὀδολγὰν δὲ Οὖννος ἦρχε τότε τῆς ἐν Περυσίᾳ φρουρᾶς,
Odolgan and (a)-Hun commanded then the in Perusia garrison
Κυπριανοῦ πρός του τῶν αὐτοῦ δορυφόρων, ὥς μοι
Cyprian by some(-one) of-the his guards as by-me
ἔμπροσθεν εἴρηται, δόλῳ ἐξ ἀνθρώπων ἀφανισθέντος.
before has-been-said by-guile from men having-been-made-away-with
ὅσπερ ξὺν στρατεύματι ἐπὶ τὸ Σπολίτιον ᾔει.
who-very with (an)-army to — Spolitium went

23.7 Μαρτινιανὸς δὲ ἄγχιστά πη εἶναι τὸ στράτευμα τοῦτο
Martinianus and nearest somewhere to-be the army this
αἰσθόμενος, ἅμα τοῖς πεντεκαίδεκα στρατιώταις τοῦ
perceiving together-with the fifteen soldiers of-the
τε φυλακτηρίου τὸν ἄρχοντα ἐκ τοῦ αἰφνιδίου διέφθειρε
both garrison the commander out-of the sudden destroyed
καὶ τὰς πύλας ἀναπετάσας Ῥωμαίους ἅπαντας τῷ
and the gates having-thrown-open Romans all into-the
φρουρίῳ ἐδέξατο. οἳ δὴ κτείνουσι μὲν τῶν πολεμίων
fortress received who indeed kill indeed of-the enemies
πλείστους, τινὰς δὲ ζωγρήσαντες παρὰ Βελισάριον ἦγον.
most some and having-taken-alive to Belisarius led

23.8 Ὀλίγῳ δὲ ὕστερον Βελισαρίῳ ἔννοια γέγονεν ἐς Ῥώμην
little and later to-Belisarius (an)-idea came to Rome
τε ἀναβῆναι καὶ ἐς ὅ τι τύχης ἐληλύθει θεάσασθαι.
both to-go-up and to what — of-fortune it-had-come to-behold
τῶν στρατιωτῶν οὖν χιλίους ἀπολεξάμενος ἐνταῦθα ᾔει.
of-the soldiers then thousand having-chosen there he-went

Ῥωμαῖος δὲ ἀνὴρ ἀφικόμενος δρόμῳ ἐς τοὺς πολεμίους, 23.9
(a)-Roman and man having-arrived at-(a)-run to the enemies
οἵπερ ἐστρατοπεδεύοντο ἐν Ἀλγηδόνι, τὸ Βελισαρίου
who-very were-encamped in Algedon the of-Belisarius
στράτευμα ἤγγειλεν.
army reported
οἱ δὲ βάρβαροι προλοχίσαντες ἐνέδραις τισὶ τὰ πρὸ τῆς 23.10
the and barbarians having-beset-beforehand with-ambushes some the before —
Ῥώμης χωρία, ἐπειδὴ ἄγχιστά πη ἀφικομένους τοὺς
Rome places when nearest somewhere arriving the(-men)
ἀμφὶ Βελισάριον εἶδον, ἐκ τῶν ἐνεδρῶν ἀναστάντες ἐπ᾽
about Belisarius they-saw from the ambushes having-risen against
αὐτοὺς ἤεσαν.
them went
μάχης τε καρτερᾶς γενομένης, τῇ σφετέρᾳ ἀρετῇ 23.11
battle both fierce having-arisen by-the their-own valor
Ῥωμαῖοι τοὺς πολεμίους τρεψάμενοι, πλείστους τε
Romans the enemies having-routed most both
διαφθείραντες ἐς τὸν Πόρτον εὐθὺς ἀνεχώρησαν. ταῦτα
having-destroyed to — Portus at-once withdrew these(-things)
μὲν οὖν τῇδε ἐχώρησεν.
indeed then in-this-way went
Ἔστι δὲ Καλαβρῶν ἐπιθαλασσία πόλις ὁ Τάρας, δυοῖν 23.12
there-is and of-Calabrians (a)-seaside city — Taras of-two
σχεδόν τι ἡμέραιν ὁδὸν Δρυοῦντος διέχουσα, ἐπί τε
nearly somewhat days road from-Dryus distant to both
Θουρίους καὶ Ῥηγίνους ἐνθένδε ἰόντι.
Thurii and Rhegians from-there for-one-going

23.13 ἐνταῦθα Ἰωάννης ξὺν ὀλίγοις τισί, Ταραντηνῶν αὐτὸν
there John with few some Tarentines him
ἐπαγαγομένων, ἀφίκετο, τοὺς λοιποὺς ἐπὶ τῇ τοῦ Δρυοῦντος
bringing-in arrived the rest for the — of-Dryus
φυλακῇ καταστησάμενος.
guard having-set

23.14 καὶ ἐπεὶ τὴν πόλιν εἶδε μεγίστην τε ὑπερφυῶς καὶ
and when the city he-saw greatest both extraordinarily and
παντάπασιν ἀτείχιστον οὖσαν, πᾶσαν μὲν φυλάξαι οἷός τε
altogether unwalled being all indeed to-guard able —
ἔσεσθαι οὐδεμιᾷ μηχανῇ ᾤετο, ἰδὼν δὲ τὴν θάλασσαν
to-be by-no means he-thought having-seen and the sea
τῆς πόλεως ἐς τὰ πρὸς βορρᾶν ἄνεμον ἀμφί τινα
of-the city to the(-quarter) toward north wind about some
χῶρον στενὸν μάλιστα ἑκατέρωθεν ἐς κόλπον ἰοῦσαν,
place narrow most on-each-side into (a)-gulf going
οὗ δὴ Ταραντηνῶν ὁ λιμήν ἐστιν, ἰσθμόν τε, ὡς
where indeed of-Tarentines the harbor is (an)-isthmus both as
τὸ εἰκός, τὸν ἐν μέσῳ χῶρον οὐχ ἧσσον ἢ σταδίων
the likely the in (the)-middle place not less than of-stades
εἴκοσιν ὄντα, ἐπενόει τάδε.
twenty being he-devised these(-things)

23.15 ἀποτεμὼν ἀπὸ τῆς ἄλλης πόλεως τὴν τοῦ ἰσθμοῦ μοῖραν
having-cut-off from the rest city the of-the isthmus part
τειχίσματί τε αὐτὴν περιέβαλεν ἐκ θατέρου θαλάσσης
with-(a)-fortification both it surrounded from the-one of-sea
μέρους ἄχρι ἐς ἕτερον καὶ τάφρον βαθεῖαν ἀμφὶ τὸ
part as-far to (the)-other and (a)-ditch deep about the
τείχισμα ὤρυσσεν.
fortification dug

ἐνταῦθά τε οὐ Ταραντηνοὺς μόνον, ἀλλὰ καὶ ὅσοι τὰ 23.16
there both not Tarentines only but also as-many-as the
ἐκείνῃ χωρία ᾤκουν συνήγαγε, καὶ φυλακὴν αὐτοῖς λόγου
there places inhabited he-gathered and (a)-guard for-them of-account
ἀξίαν ἐλίπετο.
worthy left
ταύτῃ τε Καλαβροὶ ἅπαντες ἐν τῷ ἀσφαλεῖ ἤδη 23.17
in-this-way both Calabrians all in the safety already
γενόμενοι Γότθων ἐς ἀπόστασιν εἶδον. ταῦτα μὲν
having-come from-Goths to revolt looked these(-things) indeed
ἐφέρετο τῇδε.
went in-this-way
Τουτίλας δὲ φρούριον ἐν Λευκανοῖς καταλαβὼν ἐχυρώτατον 23.18
Totila and (a)-fortress in Lucanians having-seized very-strong
ἄγχιστά πη τῶν Καλαβρίας ὁρίων κείμενον, ὅπερ
nearest somewhere the of-Calabria bounds lying which-very
Ἀχεροντίδα καλοῦσι Ῥωμαῖοι, ἐνταῦθά τε φυλακτήριον
Acherontis call Romans there both (a)-garrison
ἀνδρῶν οὐχ ἧσσον ἢ τετρακοσίων καταστησάμενος αὐτὸς
of-men not less than four-hundred having-set he
ξὺν τῷ ἄλλῳ στρατῷ ἐπὶ Ῥάβενναν ᾔει, τῶν βαρβάρων
with the other army against Ravenna went of-the barbarians
τινὰς ἀπολιπὼν ἐς τὰ ἐπὶ Καμπανίας χωρία, οἷσπερ
some having-left to the toward Campania places upon-which-very
ἡ Ῥωμαίων ἐπέκειτο φυλακή, τῶν ἐκ τῆς συγκλήτου
the of-Romans pressed guard of-the(-men) from the senatorial
βουλῆς ἐνταῦθα ὄντων.
council there being
Βελισαρίῳ δὲ τόλμα προμηθὴς γέγονε τότε ἀρχὴν 24.1
to-Belisarius and (a)-daring provident came then at-(the)-beginning
μὲν μανιώδης δόξασα εἶναι τοῖς τε ὁρῶσι καὶ
indeed mad having-seemed to-be to-the(-ones) both seeing and

ἀκούουσι πρῶτον, ἐκβᾶσα δὲ ἐς ἀρετῆς ἔργον ὑψηλόν
hearing first having-turned-out and into of-valor (a)-work lofty
τε καὶ δαιμονίως ὑπέρογκον.
both and divinely surpassing

24.2 τῶν γὰρ στρατιωτῶν ὀλίγους τινὰς φρουρᾶς ἕνεκα τῆς ἐν
of-the for soldiers few some of-guard for-the-sake of-the in
Πόρτῳ ἀπολιπὼν αὐτὸς ξὺν τῷ ἄλλῳ στρατῷ ἐς Ῥώμην
Portus having-left he with the other army to Rome
ἦλθε, προσποιεῖσθαί τε αὐτὴν σθένει παντὶ ἤθελεν.
came to-take-over both it with-strength all he-wished

24.3 ἐπεὶ δὲ οὐχ οἷός τε ἦν ὅσα καθελὼν τοῦ
when and not able — he-was as-much-as having-pulled-down of-the
περιβόλου Τουτίλας ἔτυχε βραχεῖ ἀνοικοδομήσασθαι χρόνῳ,
circuit-wall Totila happened in-short to-rebuild time
ἐποίει τάδε.
he-did these(-things)

24.4 λίθους ἄγχιστά πη ὄντας ξυναγαγὼν ἐπ᾽ ἀλλήλους
stones nearest somewhere being having-gathered on one-another
οὐδενὶ κόσμῳ ξυνέβαλεν, οὐδὲν τὸ παράπαν ἐντὸς ἔχοντας,
in-no order he-threw-together nothing at all within having
ἐπεὶ οὔτε τίτανον εἶχεν οὔτε τι ἄλλο τοιοῦτον, ἀλλ᾽
since neither lime he-had nor anything other such but
ὅπως μόνον τὸ τῆς οἰκοδομίας σώζοιτο πρόσωπον,
so-that only the of-the building might-be-preserved face
σκολόπων τε μέγα τι χρῆμα ἔξωθεν ἵστη.
of-stakes both great some quantity outside he-set

24.5 ἐτύγχανε δὲ καὶ τάφρους βαθείας ἀμφὶ τὸν περίβολον
he-happened and also ditches deep about the circuit-wall
ὅλον ὀρύξας πρότερον, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν
whole having-dug before as by-me in the earlier
λόγοις ἐρρήθη.
accounts was-said

παντὸς δὲ τοῦ στρατοῦ προθυμίᾳ τῇ πάσῃ ταῦτα 24.6
whole and the army with-eagerness the all these(-things)
ἐργαζομένου πέντε καὶ εἴκοσιν ἡμερῶν ὅσα τοῦ
working in-five and twenty days as-much-as of-the
περιβόλου καθῄρητο τῷ τρόπῳ τούτῳ τετέλεστο.
circuit-wall had-been-pulled-down in-the manner this had-been-finished
τῶν τε Ῥωμαίων ὅσοι ἀμφὶ τὰ ἐκείνῃ χωρία ᾤκηντο 24.7
of-the both Romans as-many-as about the there places dwelt
ἐνταῦθα ἠγείροντο, τῆς τε ἐν Ῥώμῃ οἰκήσεως ἐπιθυμίᾳ
there gathered by-the both in Rome dwelling desire
καὶ ὅτι τῶν ἐπιτηδείων τέως σπανίζοντες ἀφθονίαν
and because of-the provisions until-then lacking abundance
ἐνταῦθα εὗρον, ἥνπερ Βελισάριος ποιεῖν ἴσχυσε, ναῦς ὅτι
there they-found which-very Belisarius to-make was-able ships as
πλείστας πάντων ἐμπλησάμενος τῶν ἀναγκαίων, ἔς τε
most with-all having-filled the necessities into both
Ῥώμην διὰ τοῦ ποταμοῦ ἐσκομίσας.
Rome through the river having-brought(-them)-in
Ταῦτα ἐπεὶ Τουτίλας ἤκουσεν, ἄρας αὐτίκα παντὶ 24.8
these(-things) when Totila heard having-set-out at-once with-all
τῷ στρατῷ ἐπὶ Βελισάριόν τε καὶ Ῥώμην ἦλθεν,
the army against Belisarius both and Rome came
οὔπω Βελισαρίου τὰς πύλας ἐναρμόσασθαι τῷ περιβόλῳ
not-yet Belisarius the gates to-fit to-the circuit-wall
ἰσχύσαντος.
having-been-able
πάσας γὰρ διαφθείρας Τουτίλας ἔτυχεν, ἅσπερ οὐκ ἔφθη 24.9
all for having-destroyed Totila happened which-very not anticipated
τεχνιτῶν ἀπορίᾳ Βελισάριος τεκτηνάμενος.
of-craftsmen by-want Belisarius having-built

24.10 ἐπεὶ δὲ ὁ τῶν βαρβάρων στρατὸς ἀγχοῦ ἐγένοντο, τότε μὲν
when and the of-the barbarians army near came then indeed
ἐνστρατοπεδευσάμενοι ηὐλίσαντο παρὰ Τίβεριν ποταμόν,
having-encamped they-bivouacked by (the)-Tiber river
ἡμέρᾳ τε τῇ ἐπιγενομένῃ ἅμα ἡλίῳ ἀνίσχοντι θυμῷ
on-day both the following together-with (the)-sun rising with-anger
τε πολλῷ καὶ θορύβῳ ἐχόμενοι ἀμφὶ τὸ τεῖχος ᾔεσαν.
both much and uproar possessed about the wall went
24.11 Βελισάριος δὲ τῶν μὲν στρατιωτῶν τοὺς μαχιμωτάτους
Belisarius and of-the indeed soldiers the most-warlike
ἀπολεξάμενος ἐς τὴν χώραν τῶν πυλῶν ἔστησε, τοὺς
having-chosen into the space of-the gates set the
δὲ λοιποὺς ἄνωθεν ἀπὸ τῶν περιβόλων ἀμύνεσθαι τοὺς
and rest from-above from the circuit-walls to-repel the(-ones)
ἐπιόντας πάσῃ δυνάμει ἐκέλευε.
attacking with-all power ordered
24.12 γέγονε τοίνυν καρτερὰ μάχη. οἱ γὰρ βάρβαροι τὰ μὲν
arose therefore (a)-fierce battle the for barbarians the indeed
πρῶτα ἐλπίδα εἶχον αὐτοβοεὶ τὴν πόλιν αἱρήσειν, τοῦ
first hope had at-the-first-shout the city to-take the
δὲ πράγματος σφίσιν ἀντιστατοῦντος, καὶ τῶν Ῥωμαίων
and thing them opposing and the Romans
ἰσχυρότατα ἀμυνομένων, ὀργῇ χρώμενοι τοῖς πολεμίοις
most-strongly resisting with-anger dealing the enemies
ἐπέκειντο, τοῦ θυμοῦ σφᾶς παρὰ δύναμιν ἐς τὴν εὐτολμίαν
pressed the wrath them beyond power to the daring
ὁρμῶντος.
urging
24.13 οἵ τε Ῥωμαῖοι παρὰ δόξαν ἀντείχοντο, τοῦ κινδύνου,
the both Romans contrary-to expectation held-out the danger
ὡς τὸ εἰκός, ἐς τὴν εὐψυχίαν ἐνάγοντος.
as the likely to the courage leading

γέγονεν οὖν φόνος τῶν βαρβάρων ἅτε ἀφ᾽ ὑψηλοῦ 24.14
arose then slaughter of-the barbarians as from high
βαλλομένων πολύς, κόπῳ τε πολλῷ καὶ ταλαιπωρίᾳ
being-shot great with-weariness both much and hardship
ἑκάτεροι εἴχοντο καὶ ἡ μάχη πρωΐ ἀρξαμένη ἐτελεύτα
both were-held and the battle early having-begun ended
ἐς νύκτα.
at night
ἔπειτα οἱ μὲν βάρβαροι ἐν τοῖς στρατοπέδοις γενόμενοι 24.15
then the indeed barbarians in the camps having-come
ἐνυκτέρευσαν, τῶν ἐν σφίσι τραυματιῶν ἐπιμελούμενοι,
passed-the-night the among them wounded taking-care-of
Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι ἐν τῷ περιβόλῳ φυλακὴν
of-Romans and the indeed others on the circuit-wall guard
εἶχον, οἱ δὲ ἀνδρίας πέρι μάλιστα πάντων εὖ ἥκοντες ἐν
held the and of-courage about most of-all well having-come in
περιτροπῇ τὰς τῶν πυλῶν χώρας ἐφύλασσον, τριβόλους
rotation the of-the gates spaces guarded caltrops
ἔμπροσθεν πολλοὺς θέμενοι, ὅπως μὴ ἐξ ἐπιδρομῆς οἱ
in-front many having-set so-that not by charge the
πολέμιοι ἐπὶ σφᾶς ἴωσιν.
enemies against them go
οἱ δὲ τρίβολοι τοιοίδε εἰσί. σκολόπων τεττάρων ἰσομήκων 24.16
the and caltrops such are of-stakes four of-equal-length
μάλιστα τὰ ὄπισθε πρὸς ἄλληλα ἐναρμοσάμενοι τριγώνου
about the back(-ends) to one-another having-fitted of-(a)-triangle
σχῆμα τὰς αὐτῶν εὐθείας πανταχόθεν ἐργάζονται, καὶ
(the)-form the their straight(-lines) on-every-side they-make and
αὐτοὺς ἐς τὴν γῆν ὅπου παρατύχῃ ῥίπτουσι.
them onto the ground wherever it-may-chance they-throw

24.17 ταύτῃ τε τῶν σκολόπων οἱ μὲν τρεῖς ἐς τὸ ἔδαφος
in-this-way both of-the stakes the indeed three into the ground
ἰσχυρότατα ἑστήκασι πάντες, ὁ δὲ λειπόμενος ἀνέχων
most-firmly stand all the and remaining sticking-up
μόνος ἐμπόδιον ἀνδράσι τε καὶ ἵπποις ἐς ἀεὶ γίγνεται.
alone (an)-obstacle to-men both and horses for ever becomes
24.18 ὁσάκις δέ τις τοῦτον δὴ κυλίνδει τὸν τρίβολον, ὁ
as-often-as and anyone this indeed rolls the caltrop the
μὲν τέως ἐκ τῶν σκολόπων τὴν τοῦ ἀέρος ὄρθιον
indeed until-then from the stakes the of-the air upright
κληρωσάμενος χώραν ἐς τὸ ἔδαφος ἕστηκεν, ἄλλος δὲ
having-had-allotted place into the ground stands other and
ἀντ᾽ αὐτοῦ γιγνόμενος ἄνω τοῖς ἐπιέναι βουλομένοις
instead-of it becoming above for-the(-ones) to-attack wishing
ἐμπόδιόν ἐστιν. οἱ μὲν τρίβολοι τοιοίδε εἰσίν. ἑκάτεροι
(an)-obstacle is the indeed caltrops such are each
δὲ οὕτω μετὰ τὴν μάχην ηὐλίσαντο.
and thus after the battle bivouacked
24.19 Τῇ δὲ ὑστεραίᾳ Τουτίλας αὖθις παντὶ τῷ στρατῷ
on-the and next-day Totila again with-all the army
τειχομαχεῖν ἔγνω, οἱ δὲ Ῥωμαῖοι τρόπῳ τῷ εἰρημένῳ
to-assault-the-wall resolved the and Romans in-manner the said
ἠμύνοντο. καθυπέρτεροί τε τῇ ξυμβολῇ γεγενημένοι
repelled superior both in-the engagement having-become
ἐπεξελθεῖν τοῖς πολεμίοις ἐθάρσησαν.
to-sally against-the enemies they-dared
24.20 καὶ τῶν βαρβάρων ὑποχωρούντων διώκοντες τῶν Ῥωμαίων
and the barbarians withdrawing pursuing of-the Romans
τινὲς πόρρω που τοῦ περιβόλου ἐγένοντο. οὓς δὴ
some far somewhere from-the circuit-wall came whom indeed
κυκλώσεσθαι οἱ βάρβαροι ἔμελλον, ὡς μὴ ἀναστρέφειν ἐς
to-encircle the barbarians were-about so-that not to-return into

τὴν πόλιν δυνατοὶ εἶεν. ἀλλὰ Βελισάριος (κατενόησε
the city able they-might-be but Belisarius he-perceived
γὰρ τὰ ποιούμενα) τῶν ἀμφ' αὐτὸν πολλοὺς ἐνταῦθα
for the(-things) being-done of-the about himself many there
στείλας διασώσασθαι τοὺς ἄνδρας ἴσχυσεν.
having-sent to-save the men was-able
οὕτω τε ἀποκρουσθέντες οἱ βάρβαροι ἀνεχώρησαν, πολλοὺς 24.21
thus both repulsed the barbarians withdrew many
μὲν ἀποβεβληκότες τῶν ἐν σφίσι μαχίμων, πλείστους
indeed having-lost of-the among them warlike(-men) most
δὲ τραυματίας ἐς τὸ στρατόπεδον ἐπαγόμενοι.
and wounded into the camp bringing
ἐνταῦθά τε ἡσυχῇ ἔμενον, τά τε τραύματα θεραπεύοντες 24.22
there both quietly they-remained the both wounds tending
καὶ τῶν ὅπλων ἐπιμελούμενοι (πολλὰ γὰρ σφίσι
and of-the arms taking-care many for to-them
διέφθαρτο ἤδη) καὶ τὰ ἄλλα ἐν παρασκευῇ πάσῃ
had-been-destroyed already and the other(-things) in readiness all
ποιούμενοι. ἡμέραις δὲ πολλαῖς ὕστερον ἐπὶ τὸν περίβολον
making on-days and many later to the circuit-wall
ὡς τειχομαχήσοντες ἦεσαν.
as going-to-assault-the-wall went
Ῥωμαῖοι δὲ σφίσιν ὑπαντιάσαντες ἐς χεῖρας ἦλθον. τύχῃ τέ 24.23
Romans and them having-met to hands came by-chance both
τινι ὁ τὸ Τουτίλα σημεῖον φέρων καιρίαν πληγεὶς αὐτός
some the(-one) the of-Totila standard carrying mortally struck himself
τε ἐκ τοῦ ἵππου ἐκπίπτει καὶ τὸ σημεῖον ἐς τὴν γῆν ἔρριψε.
both from the horse falls and the standard to the ground threw
καὶ Ῥωμαίων μὲν ὅσοι ἐς τὰ πρῶτα ἐμάχοντο, ὥρμησαν 24.24
and of-Romans indeed as-many-as in the front fought rushed
ὥστε τὸ σημεῖον καὶ τὸν νεκρὸν ἁρπασόμενοι. φθάσαντες δὲ
as the standard and the corpse going-to-snatch having-anticipated and

τῶν βαρβάρων οἱ εὐτολμότατοι τό τε σημεῖον ἁρπάζουσι καὶ
of-the barbarians the most-daring the both standard snatch and
τοῦ νεκροῦ χεῖρα τὴν λαιὰν ἀποτεμόντες ξὺν αὐτοῖς ἔλαβον.
of-the corpse (the)-hand the left having-cut-off with themselves took
24.25 ψέλλιον γὰρ χρυσοῦν ἐπὶ ταύτης ὁ πεπτωκὼς φορῶν
(a)-bracelet for golden on this the(-one) fallen wearing
ἔτυχε λόγου ἄξιον, ᾧπερ ἐναβρύνεσθαι τοὺς ἐναντίους
happened of-account worthy in-which-very to-exult the opponents
ἥκιστα ἤθελον, φεύγοντες δηλονότι τὴν ἀπὸ τοῦ ἔργου
least they-wished avoiding clearly the from the deed
αἰσχύνην.
shame
24.26 καὶ ὁ μὲν τῶν βαρβάρων στρατὸς ἐς ὑπαγωγὴν
and the indeed of-the barbarians army into retreat
ἐτράποντο οὐδενὶ κόσμῳ, Ῥωμαῖοι δὲ τὸ μὲν ἄλλο τοῦ
turned in-no order Romans and the indeed rest of-the
νεκροῦ σῶμα ἐσκύλευσαν, τοὺς δὲ πολεμίους ἐπὶ πλεῖστον
corpse body stripped the and enemies to (the)-most
διώκοντες πολλοὺς ἔκτειναν, ἔς τε τὴν πόλιν κακῶν
pursuing many killed into both the city of-evils
παντάπασιν ἀπαθεῖς ἦλθον.
altogether unharmed came
24.27 Τότε δὲ ὅσοι ἐν Γότθοις λόγιμοι ἦσαν Τουτίλᾳ
then and as-many-as among Goths notable were to-Totila
προσελθόντες ἐλοιδοροῦντό τε καὶ ἀνέδην αὐτῷ τὴν
having-approached reviled both and openly him the
ἀβουλίαν ὠνείδιζον, ὅτι δὴ Ῥώμην ἑλὼν οὔτε
ill-counsel reproached that indeed Rome having-taken neither
ξύμπασαν ἐς ἔδαφος καθεῖλεν, ὅπως μηκέτι τοῖς πολεμίοις
whole to ground he-pulled-down so-that no-longer for-the enemies
καταληπτὴ εἴη, οὔτε αὐτὸς ἔσχεν, ἀλλ᾽ ὅπερ πόνῳ
seizable it-might-be nor himself held(-it) but what-very with-toil

τε καὶ χρόνῳ πολλῷ αὐτοῖς ἐργασθὲν ἔτυχε, τοῦτο
both and time much by-them having-been-worked happened this
λόγῳ αὐτὸς οὐδενὶ διαφθείρειεν.
for-reason he no was-destroying
οὕτω τοῖς ἀνθρώποις ἐμπέφυκε πρὸς τῶν πραγμάτων 24.28
thus in-the men it-is-innate according-to of-the affairs
τὰς ἀποβάσεις ἀεὶ τὴν γνώμην ῥυθμίζειν καὶ τὴν διάνοιαν
the outcomes always the judgment to-order and the mind
τῷ τῆς τύχης ῥεύματι προσχωρεῖν, ἀγχιστρόφους τε ἀπ᾽
to-the of-the fortune current to-go-along quick-turning both from
αὐτοῦ τὰς μεταστάσεις ποιεῖσθαι τῆς δόξης.
it the changes to-make of-the opinion
διὸ δὴ καὶ Γότθοι εὐημεροῦντα μὲν τοῖς ἐγχειρήμασι 24.29
wherefore indeed also Goths prospering indeed in-the undertakings
Τουτίλαν ἐτεθήπεσαν ἴσα θεῷ, ἄμαχόν τινα καὶ ἀήττητον
Totila had-admired equal to-(a)-god invincible some and unconquered
ἀποκαλοῦντες, ἡνίκα πόλεων τῶν ἁλισκομένων ἐκ
calling(-him) when of-cities the(-ones) captured from
μοίρας τινὸς τὰ τείχη διαφθείρειν εἶα, σφαλέντι δέ,
portion some the walls to-destroy he-allowed having-tripped and
ὥσπερ ἐρρήθη, λοιδορεῖσθαι οὐκ ἀπηξίουν τῶν ἔναγχος
as was-said to-revile not they-disdained the(-things) lately
σφίσιν ἀμφ᾽ αὐτὸν εἰρημένων ἀμνημονοῦντες, ἀπ᾽ ἐναντίας
by-them about him said forgetting from opposite
τε αὐτῶν οὐδεμιᾷ ὀκνήσει ἰόντες.
both them with-no hesitation going
ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα οὐχ οἷόν τέ ἐστι μὴ 24.30
but these(-things) indeed and the such not possible — it-is not
οὐχὶ τοῖς ἀνθρώποις ἐς ἀεὶ ἁμαρτάνεσθαι, ἐπεὶ καὶ φύσει
not for-the men for ever to-be-erred since also by-nature
γίγνεσθαι εἴωθε.
to-happen it-is-wont

24.31 Τουτίλας δὲ καὶ οἱ βάρβαροι λύσαντες τὴν προσεδρείαν
Totila and and the barbarians having-broken-up the siege
ἐς Τίβουριν πόλιν ἀφίκοντο, πάσας σχεδόν τι τὰς
to Tibur city arrived all nearly somewhat the
τοῦ Τιβέριδος γεφύρας διελόντες, ὅπως μὴ Ῥωμαῖοι
of-the Tiber bridges having-broken-down so-that not Romans
εὐπετῶς σφίσιν ἐπιέναι οἷοί τε ὦσι.
easily them to-attack able — may-be
24.32 γέφυραν μέντοι μίαν, ἣ Μολιβίου ἐπώνυμός ἐστι,
bridge however one which of-Mulvius named is
διαφθεῖραι οὐδαμῇ ἴσχυσαν, ἐπεὶ ἄγχιστα τῆς
to-destroy in-no-way they-were-able since nearest the
πόλεως ἐτύγχανεν οὖσα. τό τε ἐν Τιβούρει φρούριον
city it-happened being the both at Tibur fortress
ἀνοικοδομήσασθαι σθένει παντὶ ἔγνωσαν·
to-rebuild with-strength all they-resolved
24.33 καθελόντες γὰρ αὐτὸ πρότερον ἔτυχον· τά τε χρήματα
having-pulled-down for it before they-happened the both money
ἐνταῦθα καταθέμενοι ἅπαντα ἡσυχῇ ἔμενον.
there having-deposited all quietly remained
24.34 καὶ Βελισάριος ἀδεέστερον ἤδη τὰς πύλας τοῦ Ῥώμης
and Belisarius more-fearlessly already the gates of-the of-Rome
περιβόλου πανταχόθι ἐφαρμοσάμενος σιδήρῳ τε αὐτὰς
circuit-wall everywhere having-fitted with-iron both them
περιβαλὼν αὖθις βασιλεῖ τὰς κλεῖς ἔπεμψε. καὶ ὁ
having-covered again to-(the)-emperor the keys sent and the
χειμὼν ἔληγε, καὶ τὸ δωδέκατον ἔτος ἐτελεύτα τῷ
winter was-ending and the twelfth year ended for-the
πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.
war this which Procopius wrote

Ἐτύγχανε δὲ πολλῷ πρότερον στράτευμα ἐπὶ Περυσίαν ὁ 25.1
happened and much before army against Perusia —
Τουτίλας στείλας, οἵπερ ἀμφὶ τὸν τῆς πόλεως περίβολον
Totila having-sent who-very about the of-the city circuit-wall
ἐνστρατοπεδευσάμενοι ἐπολιόρκουν ἐς τὸ ἀκριβὲς τοὺς
having-encamped besieged to the exact the
ταύτῃ Ῥωμαίους.
there Romans
καὶ ἐπεὶ τῶν ἐπιτηδείων αὐτοὺς σπανίζοντας ᾔσθοντο 25.2
and when of-the provisions them lacking they-perceived
ἤδη, πέμψαντες παρὰ Τουτίλαν ἐδέοντο παντὶ τῷ στρατῷ
already having-sent to Totila they-begged with-all the army
ἐνταῦθα ἰέναι, ῥᾷον ἂν οὕτω καὶ ἀπονώτερον ἑξελεῖν
there to-go more-easily — thus and with-less-toil to-take
Περυσίαν τε καὶ τοὺς ἐνταῦθα Ῥωμαίους οἰόμενοι.
Perusia both and the there Romans thinking
Τουτίλας δὲ οὐ λίαν ἐς τὰ ἐπαγγελλόμενα 25.3
Totila and not very for the(-things) enjoined
προθυμουμένους τοὺς βαρβάρους ὁρῶν παραίνεσίν τινα
being-eager the barbarians seeing exhortation some
ποιεῖσθαι ἐς αὐτοὺς ἤθελε.
to-make to them wished
διὸ δὴ ξυγκαλέσας ἅπαντας ἔλεξε τοιάδε “Ὁρῶν 25.4
wherefore indeed having-called-together all he-said such(-things) seeing
ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ἐμὲ μὲν οὐκ ὀρθῶς δι’
you men fellow-soldiers me indeed not rightly in
ὀργῆς ἔχοντας, ἀγανακτοῦντας δὲ πρὸς τὸ τῆς τύχης
anger holding being-indignant and at the of-the fortune
ξυμπεπτωκὸς ἐναντίωμα, ξυναγαγεῖν τανῦν ἔγνωκα, ὅπως
having-befallen reversal to-gather now I-have-resolved so-that
ὑμῶν δόξαν ὡς ἥκιστα ὀρθὴν ἀφελὼν ἀντικαθιστάναι
from-you opinion as least right having-taken-away to-set-in-its-place

τὴν γνώμην ἐπὶ τὰ βελτίω δυνήσωμαι, καὶ μήτε
the judgment toward the better(-things) I-may-be-able and neither
ἀχαριστεῖν οὐδὲν ὑμῖν προσῆκον ἐς ἐμὲ δόξητε μήτε
to-be-ungrateful nothing to-you befitting toward me you-may-seem nor
ἀγνωμοσύνῃ εἰς τὸ θεῖον ὑπὸ ἀβελτερίας χρῆσθαι.
ingratitude toward the divine from folly to-use

25.5 τὰ γὰρ ἀνθρώπεια καὶ σφάλλεσθαί ποτε πέφυκεν,
the(-things) for human also to-trip ever are-wont
ὅστις τε ἄνθρωπος ὢν εἶτα δυσχερῶς ἔχων ἐς τὰ
whoever and (a)-man being then discontented being toward the(-things)
προσπίπτοντα φαίνεται, αὐτὸς μὲν ἀμαθίας, ὡς τὸ εἰκός,
befalling appears he indeed of-ignorance as the likely
ἀποίσεται δόξαν, οὐδὲν δὲ ὑπεκστήσεται τὴν ἀπὸ τῆς
will-carry-off (the)-reputation nothing and he-will-escape the from the
τύχης ἀνάγκην.
fortune necessity

25.6 βούλομαι δὲ τῶν πρότερον πεπραγμένων ὑμᾶς
I-wish and of-the(-things) before done you
ὑπομνῆσαι, οὐχ ὅσον ἕνεκα τοῦ τὰς αἰτίας τῶν
to-remind not only for-the-sake-of the the blames of-the(-things)
ξυμβεβηκότων ἐκλύσασθαι, ἀλλὰ καὶ τοῦ δικαιότερον ἂν
having-happened to-loose but also of-the more-justly —
ταύτας ὑμῖν προσήκειν ἐνδείκνυσθαι.
them to-you to-belong to-show

25.7 Οὐίττιγις γὰρ τὸ ἐξ ἀρχῆς καθιστάμενος ἐς πόλεμον
Vittigis for the from (the)-beginning entering into war
τόνδε Φανοῦ μὲν καὶ Πισαύρου τῶν ἐπιθαλασσίων πόλεων
this of-Fanum indeed and Pisaurus the seaside cities
τὰ τείχη καθεῖλε, Ῥώμην δὲ καὶ τὰς ἄλλας Ἰταλίας
the walls pulled-down Rome and and the other of-Italy
πόλεις ἁπάσας ἀφῆκεν οὐδ' ὁτιοῦν λυμηνάμενος.
cities all he-left not-even anything having-harmed

ἐκ μὲν οὖν Φανοῦ καὶ Πισαύρου φλαῦρον οὐδὲν Γότθοις 25.8
from indeed then Fanum and Pisaurus bad nothing to-Goths
ξυμβέβηκεν, ἐκ δὲ τοῦ Ῥώμης περιβόλου καὶ τῶν
has-happened from and the of-Rome circuit-wall and the
ἄλλων ὀχυρωμάτων ταύτῃ, ᾗπερ ὑμεῖς ἴστε, Γότθοις καὶ
other strongholds in-this-way as-very you know for-Goths and
Οὐιττίγιδι ἐκεχωρήκει τὰ πράγματα.
for-Vittigis had-gone the affairs
ἐγὼ τοίνυν ἐπειδὴ διδόντων ὑμῶν τὴν ἀρχὴν ἔλαβον, 25.9
I therefore when giving you the rule I-took
ἐλογισάμην τῶν ἔργων τοῖς ἀμείνοσι δόξασιν εἶναι μᾶλλον
I-reckoned of-the deeds the better seeming to-be rather
ἕπεσθαι ἢ ἐκ τῶν λυμηναμένων τοῖς πράγμασι
to-follow than from the(-ones) having-harmed the affairs
διδόναι βλάβος.
to-give damage
φύσει μὲν γὰρ ἄνθρωποι οὐδέν τι μέγα διαφέρειν 25.10
by-nature indeed for men nothing at-all much to-differ
ἀλλήλων δοκοῦσιν, ἡ δὲ πεῖρά τισι γινομένη
from-one-another seem the and experience to-some becoming
διδάσκαλος κρείσσω τὸν ἐκμαθόντα τῶν οὐ
(a)-teacher stronger the(-one) having-learned-thoroughly than-the(-ones) not
τετυχηκότων τῆς διδασκαλίας τῷ παντὶ τίθησιν.
having-obtained the teaching in-the whole makes
ἐπειδὴ τοίνυν Βενεβεντὸν εἴλομεν, τὰ τείχη καθελόντες, 25.11
when therefore Beneventum we-took the walls having-pulled-down
τῶν ἄλλων εὐθὺς ἐκρατοῦμεν, ὥνπερ ὁμοίως τοὺς
the others at-once we-mastered of-which-very likewise the
περιβόλους καθελεῖν ἔγνωμεν, ὅπως μὴ ἐξ ἐχυροῦ τινος
circuit-walls to-pull-down we-resolved so-that not from strong(-place) some
ὁρμώμενος ὁ τῶν πολεμίων στρατὸς σοφίζεσθαι τὸν
setting-out the of-the enemies army to-use-tricks-in the

πόλεμον δυνατὸς εἴη, ἀλλ᾽ ἐκ τοῦ εὐθέος ἀναγκάζηται
war able might-be but from the straight it-be-compelled
ἡμῖν ἐς πεδίον κατιὼν ἐς χεῖρας ἰέναι.
with-us into (the)-plain coming-down to hands to-go

25.12 καὶ οἱ μὲν ἔφευγον, ἐγὼ δὲ καθαιρεῖν τῶν πόλεων
and they indeed fled I and to-pull-down of-the cities
τὰς ἁλισκομένας ἐκέλευον.
the(-ones) captured ordered

25.13 ὑμεῖς δὲ τὴν εὐβουλίαν θαυμάζοντες ὑπουργεῖτε τῇ γνώμῃ
you and the good-counsel admiring served the plan
ταύτῃ, τὸ ἔργον, ὡς τὸ εἰκός, οἰκειούμενοι. ὁ γὰρ
this the deed as the likely making-your-own the(-one) for
ἐπαινέσας τὸν δράσαντα οὐδέν τι ἧσσον τῶν
having-praised the(-one) having-done nothing at-all less of-the(-things)
πεπραγμένων αὐτουργὸς γίνεται.
done (a)-doer becomes

25.14 νῦν δὲ μεταβέβλησθε, ὦ φίλτατοι Γότθοι, ἐπειδὴ ξυνέβη
now and you-have-changed O dearest Goths since it-befell
Βελισάριον κρεῖσσον λόγου θράσος ἑλόμενον τῶν
Belisarius greater-than reason daring having-chosen of-the(-things)
ἐγκεχειρημένων αὐτῷ παρὰ δόξαν κρατεῖν, καὶ ἀπ᾽ αὐτοῦ
attempted by-him contrary-to expectation to-succeed and from it
καταπεπλῆχθαι τὸν ἄνθρωπον ἅτε ἀνδρεῖον ὑμῖν ξυμβαίνει.
to-be-struck-with-terror-at the man as brave you it-befalls

25.15 ῥᾷον γὰρ οἱ θρασεῖς εὔτολμοι κέκληνται ἢ οἱ προμηθεῖς
more-easily for the rash daring have-been-called than the provident
ἀσφαλεῖς. ὁ μὲν γὰρ παρὰ τὰ καθεστῶτα τολμήσας
safe the(-one) indeed for contrary-to the established(-things) having-dared
ἐννοίᾳ τοῦ δοκοῦντος δραστηρίου τετίμηται, ὁ
by-(the)-notion of-the seeming energetic has-been-honored the(-one)
δὲ προμηθεῖ γνώμῃ ἀποκνήσας τὸν κίνδυνον ἀποτυχών
and with-provident judgment having-shrunk-from the danger having-failed

τε τὴν αἰτίαν ἐπισπᾶται τῶν ξυμπιπτόντων καὶ
both the blame draws of-the(-things) befalling and
πράξας κατὰ νοῦν οὐδὲν αὐτὸς τοῖς γε ἀμαθέσιν
having-acted according-to sense nothing he to-the(-ones) at-least ignorant
ἐργάσασθαι δοκεῖ.
to-have-done seems
χωρὶς δὲ τούτων οὐκ ἐκλογίζεσθε ὅτι ἐμοὶ χαλεπαίνετε, 25.16
apart and from-these not you-reckon that with-me you-are-angry
δι᾽ ὧν ὑμῖν ἀγανακτεῖν ξυμβαίνει τανῦν. ἢ Βελισάριον
through what to-you to-be-vexed it-befalls now or Belisarius
εὐδοκιμηκέναι καθ᾽ ὑμῶν οἴεσθε, οἵπερ δορυάλωτοι ὄντες
to-have-won-glory over you think-you who-very spear-captured being
καὶ δραπέται γεγενημένοι ὑπ᾽ ἐμοί τε στρατηγοῦντι ὅπλα
and runaways having-become under me both commanding arms
ἀντάραντες ὑπερβαλέσθαι πολλάκις αὐτὸν τῷ πολέμῳ
having-raised to-surpass often him in-the war
δεδύνησθε;
you-have-been-able
καίτοι εἰ μὲν ἐμῇ ἀρετῇ ἐκεῖνα ὑμᾶς εἰργάσθαι ξυνέβη, 25.17
and-yet if indeed by-my valor those(-things) you to-have-done it-befell
ταύτην ὑμᾶς αἰσχυνομένους χρὴ σιωπᾶν, ἐν τοῖς
this you being-ashamed it-is-right to-be-silent in the
πταίσμασι δὴ τῶν ἀνθρώπων ἐνθυμουμένους ὡς οὐδὲν
stumbles indeed of-the men considering that nothing
πέφυκεν ἐφ᾽ ἑαυτοῦ μένειν· εἰ δέ τις ὑμῖν τύχη ἐκεῖνο
is-natural on itself to-remain if and some to-you fortune that
τὸ κράτος ἐβράβευσε, σέβειν μᾶλλον ἢ δυσκόλως πρὸς
the victory awarded to-revere rather than discontentedly toward
αὐτὴν ἔχειν ὑμῖν ξυνοίσει, ὡς μὴ προσκεκρουκότες
it to-be for-you will-be-advantageous so-that not having-offended(-it)
τὴν εὐγνωμοσύνην μεταμαθεῖν βιάζησθε.
the gratitude to-relearn you-be-forced

25.18 καίτοι πῶς οὐκ ἂν ἀπὸ τοῦ σώφρονος τρόπου φανείη
and-yet how not — from the sensible manner would-it-appear
τοὺς πολλά τε καὶ μεγάλα περιβεβλημένους εὐτυχήματα
the(-ones) many both and great having-acquired good-fortunes
οὐ πολλῷ ἔμπροσθεν ἐν βραχεῖ τε τανῦν πταίσαντας οὕτω
not much before in short both now having-stumbled thus
δεδουλῶσθαι τὸ φρόνημα; οὐ γὰρ ἄλλο οὐδὲν τὸ τοιοῦτόν
to-have-been-enslaved in-the spirit not for other nothing the such
ἐστιν ἢ ἀπαξιοῦν τε καὶ ἀπαρνεῖσθαι ἀνθρώπους εἶναι.
is than to-disdain both and to-deny men to-be
25.19 τὸ γὰρ ἐν οὐδενὶ σφάλλεσθαι χρόνῳ θεοῦ ἂν ἴδιον γένοιτο.
the for in no to-trip time of-God — own would-be
τούτων τοίνυν φημὶ χρῆναι ἀφεμένους ὑμᾶς προθυμίᾳ
of-these therefore I-say to-be-needful having-let-go you with-eagerness
τῇ πάσῃ ὁμόσε τοῖς ἐν Περυσίᾳ πολεμίοις ἰέναι. ἢν γὰρ
the all to-close with-the in Perusia enemies to-go if for
ἐκείνους ἐξελεῖν δυνήσησθε, αὖθις ὑμῖν τὰ τῆς τύχης
those to-take you-be-able again for-you the(-things) of-the fortune
ἐν καλῷ κείσεται.
in fair(-state) will-lie
25.20 τὸ μὲν γὰρ ξυμπεσὸν οὐδ' ἂν ὁ πᾶς αἰὼν ἀποίητον
the(-thing) indeed for having-befallen not-even — the whole age undone
τίθεσθαι δύναιτο, εὐτυχημάτων δὲ ἄλλων ἐπιγινομένων
to-make could good-fortunes and other coming-on
τοῖς ἐπταικόσι λελωφηκέναι ξυμβαίνει τὴν τῶν κακῶν
for-the(-ones) having-stumbled to-have-abated it-befalls the of-the evils
μνήμην.
memory
25.21 ἔσται δὲ ὑμῖν ἡ Περυσίας ἐπικράτησις οὐδενὶ πόνῳ.
will-be and for-you the of-Perusia mastery with-no toil
Κυπριανὸς γὰρ ὃς τῶν ἐνταῦθα Ῥωμαίων ἦρχε, τύχῃ
Cyprian for who of-the there Romans commanded by-chance

τε καὶ βουλαῖς ἡμετέραις ἐκποδὼν γέγονε, πλῆθος
both and by-plans ours out-of-the-way has-become (a)-multitude
δὲ ἄναρχον ἄλλως τε καὶ τῶν ἀναγκαίων ὑποσπανίζον
and leaderless especially — also of-the necessities somewhat-lacking
ἀνδραγαθίζεσθαι ἥκιστα πέφυκεν.
to-play-the-man least is-wont
οὐ μὴν οὐδὲ ὄπισθέν τις ἐς ἡμᾶς κακουργήσει· τάς τε 25.22
not indeed not-even behind any(-one) to us will-do-harm the both
γὰρ τοῦ ποταμοῦ γεφύρας τούτου ἕνεκα καθελεῖν ἔγνωκα,
for of-the river bridges this for-the-sake to-pull-down I-have-resolved
ὡς μή τι πάθοιμεν ἐξ ἐπιδρομῆς ἀπροσδόκητον, καὶ
so-that not anything we-may-suffer by charge unexpected and
ὑπόπτους ξυμβαίνει Βελισάριόν τε καὶ Ἰωάννην ἀλλήλοις
suspicious it-befalls Belisarius both and John of-one-another
εἶναι, ὅπερ διὰ τῶν πεπραγμένων ὁρᾶν πάρεστι.
to-be which-very through the(-things) done to-see is-possible
γνῶμαι γὰρ ἀλλήλαις μαχόμεναι διὰ τῶν ἔργων 25.23
judgments for with-one-another fighting through the deeds
ἐλέγχονται. οὐκοῦν οὐδέ πη ἀλλήλοις ἐπιμίγνυσθαι
are-exposed then not-even anywhere with-one-another to-mingle
ἐς τόδε τοῦ χρόνου δεδύνηνται. ἀναχαιτίζει γὰρ ἑκάτερον
to this of-the time they-have-been-able checks for each
ἡ ἐς ἀλλήλους ἀμφοῖν ὑποψία. οἷς δ' ἂν αὕτη
the toward one-another of-both suspicion in-whom and — this
ἐγγένηται, φθόνον τε καὶ ἔχθος ἐπάναγκες ξυνοικίζεσθαι.
arise envy both and hatred of-necessity to-dwell-together
ὧν δὴ μεταξὺ ἐπιπεσόντων γενέσθαι τι τῶν δεόντων 25.24
which indeed in-between having-fallen-on to-happen any of-the(-things) needful
ἀδύνατον." τοσαῦτα ὁ Τουτίλας εἰπὼν ἐπὶ Περυσίαν
(is)-impossible so-much — Totila having-said against Perusia
ἐξῆγε τὸ στράτευμα, ἐνταῦθά τε ἀφικόμενοι ἄγχιστα
led-out the army there both having-come nearest

τοῦ περιβόλου ἐστρατοπεδεύσαντο καὶ ἐγκαθεζόμενοι ἐς
the circuit-wall they-encamped and having-sat-down into
πολιορκίαν καθίσταντο.
siege settled

IX · THE SENATORS RESCUED

John rides into Campania and rescues the senators' wives, beating the Goths at Capua; Totila surprises John's camp in Lucania by night, but most escape in the dark. Reinforcements arrive under Verus and Varazes. Belisarius sails for Tarentum and puts in at Croton, where his cavalry under Phazas is cut to pieces. Sclaveni ravage Illyricum; earthquakes, a Nile flood, and the whale Porphyrius follow.

26.1 Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο τῇδε, ἐν τούτῳ
in which and these(-things) were-happening in-this-way in this
Ἰωάννῃ Ἀχεροντίδα τὸ φρούριον πολιορκοῦντι, ἐπεὶ οὐδὲν
to-John Acherontis the fortress besieging since nothing
προὐχώρει, ἔννοιά τις καὶ τόλμα γέγονεν, ἣ Ῥωμαίων
went-forward idea some and daring came which of-Romans
μὲν τὴν βουλὴν διασώσασθαι, αὐτῷ δὲ κλέος περιβαλέσθαι
indeed the senate to-save for-him and glory to-acquire
μέγα τε καὶ ὑπερφυὲς ἐς ἀνθρώπους ἅπαντας ἴσχυσε.
great both and extraordinary among men all was-able
26.2 Τουτίλαν γὰρ καὶ τὸν Γότθων στρατὸν τειχομαχεῖν ἀκούσας
Totila for and the of-Goths army to-assault-the-wall having-heard
ἀμφὶ τὸν Ῥώμης περίβολον, τῶν ἱππέων τοὺς δοκιμωτάτους
about the of-Rome circuit-wall of-the horsemen the most-notable
ἀπολεξάμενος, τῶν πάντων οὐδενὶ προρρηθέν, ἐς
having-chosen of-the all to-no-one having-been-told-beforehand to
Καμπανούς, οὔτε νύκτα ἀνιεὶς οὔτε ἡμέραν, ᾔει (ἐνταῦθα γὰρ
Campanians neither night letting-up nor day went there for

αὐτοὺς ἀπολιπὼν Τουτίλας ἔτυχεν), ὅπως ἐπιπεσὼν
them having-left Totila happened so-that having-fallen-upon(-them)
ἀπροσδόκητος ἀναρπάσαι τε καὶ διασώσασθαι τοὺς ἀπὸ
unexpected to-snatch-up both and to-save the(-men) from
τῆς συγκλήτου βουλῆς οἷός τε εἴη ἅτε τῶν ἐνταῦθα
the senatorial council able — he-might-be as of-the there
χωρίων ἀτειχίστων παντάπασιν ὄντων.
places unwalled altogether being
ξυνηνέχθη δὲ ὑπὸ τὸν χρόνον τοῦτον Τουτίλαν δείσαντα, 26.3
it-befell and about the time this Totila having-feared
ὅπερ ἐγένετο, μή τις τῶν πολεμίων ἐς τοὺς
which-very happened lest some(-one) of-the enemies to the
αἰχμαλώτους κακουργήσων ἴοι, στράτευμα ἐπὶ Καμπανίας
captives going-to-do-harm should-go army to Campania
ἱππέων στεῖλαι.
of-horsemen to-send
οἳ δὴ ἐπεὶ ἐν Μεντούρνῃ πόλει ἐγένοντο, ἄμεινον σφίσιν 26.4
who indeed when in Minturnae city they-came better to-them
ἔδοξεν εἶναι τοὺς μὲν πλείστους ἐνταῦθα ἡσυχῇ μένειν
it-seemed to-be the indeed most there quietly to-remain
τῶν τε ἵππων ἐπιμελεῖσθαι (κόπῳ γὰρ πολλῷ ἐν
the and horses to-take-care-of with-weariness for much in
ταύτῃ τῇ πορείᾳ σφίσιν ὁμιλῆσαι ξυνέβη), στεῖλαι δέ
this the march them to-meet it-had-befallen to-send and
τινας τὰ ἐν Καπύῃ τε κατασκεψομένους καὶ τοῖς
some the(-things) in Capua both going-to-observe and in-the
ταύτῃ χωρίοις. χώραν δὲ ξυμβαίνει εἶναι τὴν μεταξὺ οὐ
there places (the)-land and happens to-be the between not
πλέον ἢ σταδίους τριακοσίους.
more than stades three-hundred

26.5 τετρακοσίους οὖν, οὕσπερ δὴ ἵπποις τε καὶ σώμασιν
four-hundred then whom-very indeed horses both and bodies
ἀκραιφνέσι χρῆσθαι ξυνέτυχε, ἐπὶ κατασκοπῇ ἔπεμψαν.
fresh to-use it-befell on spying they-sent

26.6 τύχῃ τέ τινι ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ ὑπὸ τὸν αὐτὸν
by-chance both some it-befell on-that the day about the same
χρόνον τόν τε ξὺν τῷ Ἰωάννῃ στρατὸν καὶ τούτους
time the both with — John army and these
δὴ τοὺς τετρακοσίους βαρβάρους ἐν Καπύῃ γενέσθαι,
indeed the four-hundred barbarians in Capua to-be
οὐδετέρους τι πρότερον τῶν ἐναντίων πέρι ἀκούσαντας.
neither anything before the opponents about having-heard

26.7 καὶ μάχη μὲν ἐκ τοῦ αἰφνιδίου ἰσχυρὰ γίνεται· ἅμα
and (a)-battle indeed out-of the sudden fierce arises together
γὰρ τῇ ὄψει ἐς χεῖρας ἦλθον· νικῶσι δὲ κατὰ κράτος
for with-the sight to hands they-came conquer and by force
Ῥωμαῖοι καὶ τοὺς πλείστους τῶν πολεμίων εὐθὺς ἔκτειναν.
Romans and the most of-the enemies at-once killed

26.8 ὀλίγοι τε τῶν βαρβάρων τινὲς φυγεῖν ἴσχυσαν, καὶ
few both of-the barbarians some to-flee were-able and
δρόμῳ ἐχόμενοι ἐς Μεντοῦρναν ἀφίκοντο. οὕσπερ ἐπεὶ
at-(a)-run holding to Minturnae arrived whom-very when
οἱ ἄλλοι εἶδον τοὺς μὲν αἵματι περιρρεομένους, τοὺς
the others saw the indeed with-blood streaming the
δὲ καὶ τὰ βέλη ἐν τοῖς σώμασιν ἔτι φέροντας, ἄλλους
and also the missiles in the bodies still carrying others
δὲ οὔτε τι φθεγγομένους οὔτε τι ἀπαγγέλλοντας
and neither anything uttering nor anything reporting
τῶν ξυμπεσόντων, ἀλλ᾽ ἔτι τῆς ὑπαγωγῆς ἐχομένους
of-the(-things) having-befallen but still the retreat holding

καὶ τὸ ἐν σφίσιν αὐτοῖς δέος ἐνδεικνύντας, αὐτίκα ἐς
and the in them selves fear displaying at-once onto
τοὺς ἵππους ἀναθορόντες ξὺν αὐτοῖς ἔφευγον.
the horses having-leapt with them fled
καὶ παρὰ Τουτίλαν ἐλθόντες πλῆθος ἀμύθητον εἶναι τῶν 26.9
and to Totila having-come (a)-multitude unspeakable to-be of-the
πολεμίων ἐσήγγελλον, ταύτῃ δηλονότι τὴν ἐκ τῆς φυγῆς
enemies reported in-this-way clearly the from the flight
αἰσχύνην ἰώμενοι.
shame healing
ἐτύγχανον δὲ στρατιῶται Ῥωμαῖοι οὐχ ἧσσον ἢ 26.10
happened and soldiers Roman not less than
ἑβδομήκοντα τῶν εἰς Γότθους ηὐτομοληκότων τὸ
seventy of-the(-men) to Goths having-deserted the
πρότερον ἐς τὰ ἐπὶ Καμπανίας χωρία ἰόντες, οἵπερ
before to the toward Campania places going who-very
Ἰωάννῃ προσχωρεῖν ἔγνωσαν.
to-John to-come-over resolved
Ἰωάννης δὲ ἄνδρας μὲν τῶν ἐκ βουλῆς ὀλίγους 26.11
John and men indeed of-the(-ones) from (the)-senate few
τινὰς ἐνταῦθα εὗρε, γυναῖκας δὲ σχεδόν τι ἁπάσας.
some there found women and nearly somewhat all
Ῥώμης γὰρ ἁλισκομένης πολλοὶ μὲν ἄνδρες φεύγουσι 26.12
Rome for being-captured many indeed men fleeing
τοῖς στρατιώταις ἐπισπόμενοι ἐς τὸν Πόρτον ἀφίκοντο,
the soldiers following to — Portus arrived
ταῖς δὲ γυναιξὶ πάσαις ἁλῶναι ξυνέβη.
for-the and women all to-be-captured it-befell
Κλημεντῖνος μέντοι, πατρίκιος ἀνήρ, καταφυγὼν ἔς 26.13
Clementinus however patrician (a)-man having-fled to
τινα τῶν ἐκείνῃ νεῶν, τῷ Ῥωμαίων στρατῷ ἕπεσθαι
some of-the there churches the of-Romans army to-follow

οὐδαμῇ ἤθελεν, ἐπεὶ φρούριον, ὃ Νεαπόλεως ἄγχιστά
in-no-way wished since (a)-fortress which to-Naples nearest
ἐστι, Τουτίλᾳ τε καὶ Γόθοις ἐνδοὺς πρότερον τὴν
is to-Totila both and Goths having-surrendered before the
βασιλέως, ὡς τὸ εἰκός, ὀργὴν ἐδεδίει, Ὀρέστης τε, ὁ
of-(the)-emperor as the likely wrath he-feared Orestes both the
Ῥωμαίων γεγονὼς ὕπατος, ἄγχιστα μέν πη ἐτύγχανεν
of-Romans having-been consul nearest indeed somewhere happened
ὤν, ἵππων δὲ ἀπορίᾳ ὡς ἥκιστα ἐθέλων αὐτοῦ ἔμενε.
being of-horses and by-want as least wishing there remained

26.14 τοὺς μὲν οὖν ἐκ τῆς συγκλήτου βουλῆς ξὺν τοῖς
the indeed then from the senatorial council with the
προσκεχωρηκόσιν ἑβδομήκοντα στρατιώταις ἐς Σικελίαν
having-come-over seventy soldiers to Sicily
εὐθὺς ἔστειλεν ὁ Ἰωάννης.
at-once sent — John

26.15 Τουτίλας δὲ ταῦτα ἀκούσας ἐν πένθει ἐποιεῖτο μεγάλῳ
Totila and these(-things) having-heard in grief made(-it) great
καὶ τίσασθαι Ἰωάννην τοῦ ἔργου τούτου ἠπείγετο. διὸ
and to-punish John for-the deed this was-eager wherefore
δὴ ξὺν τῷ πλείονι τοῦ στρατοῦ ἐπ᾽ αὐτὸν ἤλαυνε, τῶν οἱ
indeed with the greater of-the army against him rode of-the him
ἑπομένων μοῖράν τινα φρουρᾶς ἕνεκα ἐνταῦθα ἀπολιπών.
following part some of-guard for-the-sake there having-left

26.16 ἐτύγχανε δὲ Ἰωάννης ξὺν τοῖς ἀμφ᾽ αὐτόν, χιλίοις
happened and John with the(-men) about him thousand
οὖσιν, ἐν Λευκανοῖς στρατόπεδον ποιησάμενος κατασκόπους
being in Lucanians (a)-camp having-made spies
τε πρότερον πέμψας, οἳ δὴ ἁπάσας διερευνώμενοι τὰς
both before having-sent who indeed all searching-out the

ὁδοὺς ἐφύλασσον μὴ πολεμίων στρατὸς κακουργήσων
roads guarded lest of-enemies (an)-army going-to-do-harm
ἐπ᾽ αὐτοὺς ἴῃ.
against them should-go
ἐν νῷ τε τὸ τοιοῦτον Τουτίλας ἔχων, ὅτι δὴ οὐχ 26.17
in mind both the such Totila having that indeed not
οἷόν τέ ἐστι κατασκόπων χωρὶς τοὺς ἀμφὶ τὸν
possible — it-is of-spies without the(-men) about —
Ἰωάννην ἐν τῷ στρατοπέδῳ καθῆσθαι, τὰς συνειθισμένας
John in the camp to-sit the accustomed
ὁδοὺς ἐκλιπὼν διὰ τῶν ὀρῶν, ἅπερ ἐνταῦθα πολλὰ
roads having-left through the mountains which-very there many
κρημνώδη τε καὶ ὑψηλὰ λίαν ἀνέχει, ἐπ᾽ αὐτοὺς ἤλαυνεν,
precipitous both and high very rise against them rode
ὅπερ οὐκ ἄν τις ὑποτοπάζειν ἔσχεν, ἐπεὶ καὶ ἄβατα
which-very not — anyone to-suspect could since also untrodden
τὰ ὄρη ταῦτα νομίζεται εἶναι.
the mountains these are-thought to-be
οἱ μέντοι ἐπὶ ταύτῃ δὴ τῇ κατασκοπῇ πρὸς τοῦ 26.18
the however for this indeed the spying by —
Ἰωάννου σταλέντες αἰσθόμενοι μὲν πολεμίων στρατὸν
John sent having-perceived indeed of-enemies (an)-army
ἀμφὶ τὰ ἐκείνῃ χωρία γενέσθαι, οὐδὲν δὲ τούτου δὴ
about the there places to-have-come nothing and of-this indeed
ἕνεκα σαφὲς πεπυσμένοι, ἀλλ᾽, ὅπερ ἐγένετο, δείσαντες
for-the-sake clear having-learned but which-very happened having-feared
ἤλαυνον καὶ αὐτοὶ ἐπὶ τὸ Ῥωμαίων στρατόπεδον.
rode also they-themselves to the of-Romans camp

26.19 καὶ ξυνηνέχθη ὁμοῦ τοῖς βαρβάροις ἐνταῦθα γενέσθαι
and it-befell together with-the barbarians there to-arrive
νύκτωρ. ὀργῇ δὲ πολλῇ καὶ οὐ προμηθεῖ γνώμῃ ὁ Τουτίλας
by-night with-anger and much and not provident mind — Totila
ἤδη ἐχόμενος τῆς ἐκ τοῦ θυμοῦ ἀβελτερίας ἀπώνατο.
already possessed of-the from the passion folly reaped-the-fruit
26.20 στράτευμα γὰρ δεκαπλάσιον ἢ τὸ τῶν ἐναντίων ἦν ξὺν
army for tenfold than the of-the opponents was with
αὐτῷ ἔχων εὔδηλόν τε ὂν ὅτι δὴ στρατῷ κρείσσονι
himself having evident both being that indeed for-(an)-army stronger
ξύμφορόν ἐστιν ἐκ τοῦ ἐμφανοῦς διαμάχεσθαι, δέον
advantageous it-is from the open to-fight-it-out it-being-needful
τε μᾶλλον αὐτὸν ὄρθρου τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι,
both rather him at-dawn with-the enemies to hands to-go
ὡς μὴ ἐν σκότῳ διαλαθεῖν δυνατοὶ εἶεν, τοῦτο μὲν
so-that not in darkness to-escape-notice able they-might-be this indeed
ὡς ἥκιστα ἐφυλάξατο· ἦ γὰρ ἅπαντας σαγηνεύσας εὐθὺς
as least he-guarded-against surely for all having-netted at-once
τοὺς ἐναντίους εἶλεν· ἀλλὰ τῷ θυμῷ χαριζόμενος
the opponents he-would-have-taken but to-the passion gratifying
ἀωρὶ τῶν νυκτῶν ἐπέστη τῷ τῶν πολεμίων στρατῷ.
untimely of-the nights he-came-upon the of-the enemies army
26.21 καὶ αὐτῶν οὐδεὶς μὲν τὸ παράπαν ἐς ἀλκὴν εἶδεν, ἐπεὶ
and of-them no-one indeed at all to defense looked since
καὶ οἱ πλεῖστοι ἔτι ἐκάθευδον, οὐ μέντοι ἀνελεῖν πολλοὺς
also the most still were-sleeping not however to-kill many
δεδύνηνται Γότθοι, ἀλλὰ ἀναστάντες οἱ πλεῖστοι ἅτε ἐν
were-able Goths but having-risen the most as in
σκότῳ διαλαθεῖν ἴσχυσαν.
darkness to-escape-notice were-able

ἔξω δὲ τοῦ στρατοπέδου γενόμενοι ἐς τὰ ὄρη, ἅπερ 26.22
outside and the camp having-come to the mountains which-very
ἄγχιστά πη πολλὰ ἀνέχει, ἀναδραμόντες ἐσώθησαν.
nearest somewhere many rise having-run-up they-were-saved
ἐν οἷς Ἰωάννης τε αὐτὸς ἦν καὶ Ἄρουφος ὁ τῶν 26.23
among whom John both himself was and Arufus the of-the
Ἐρούλων ἡγούμενος. ἀπέθανον δὲ Ῥωμαῖοι ἐς ἑκατὸν
Eruli leading died and Romans to hundred
μάλιστα.
about
ἦν δέ τις ξὺν τῷ Ἰωάννῃ Γιλάκιος ὄνομα, 26.24
there-was and (a)-certain with — John Gilacius by-name
Ἀρμένιος γένος, ὀλίγων τινῶν Ἀρμενίων ἄρχων. οὗτος
(an)-Armenian by-race of-few some Armenians commander this
ὁ Γιλάκιος οὔτε ἑλληνίζειν ἠπίστατο οὔτε Λατίνην ἢ
— Gilacius neither to-speak-Greek knew nor Latin or
Γοτθικὴν ἢ ἄλλην τινὰ ἢ Ἀρμενίαν μόνην ἀφεῖναι φωνήν.
Gothic or other any than Armenian only to-utter language
τούτῳ δὴ Γότθοι ἐντυχόντες τινὲς ἐπυνθάνοντο ὅστις 26.25
this(-man) indeed Goths having-met some inquired who
ποτὲ εἴη. κτεῖναι γὰρ τὸν παραπίπτοντα οὐδαμῇ
ever he-was to-kill for the(-one) falling-in-their-way in-no-way
ἤθελον, ὡς μὴ ἀλλήλους διαφθείρειν ἐν νυκτομαχίᾳ, ὡς
they-wished so-that not one-another to-destroy in night-battle as
τὸ εἰκός, ἀναγκάζοιντο.
the likely they-might-be-compelled
ὁ δὲ αὐτοῖς ἄλλο οὐδὲν ἀποκρίνασθαι ἴσχυσε πλήν γε 26.26
he and to-them other nothing to-answer was-able except at-least
δὴ ὅτι Γιλάκιος στρατηγὸς εἴη. τὸ γὰρ ἀξίωμα, ὃ
indeed that Gilacius (a)-general he-was the for rank which

δὴ πρὸς βασιλέως λαβὼν ἔτυχε, πολλάκις ἀκούσας
indeed from (the)-emperor having-received he-happened often having-heard
ἐκμαθεῖν ἴσχυσε.
to-learn-thoroughly he-was-able

26.27 ταύτῃ τοίνυν οἱ βάρβαροι αἰσθόμενοι ὅτι δὴ πολέμιος
in-this-way therefore the barbarians having-perceived that indeed (an)-enemy
εἴη, ἐν μὲν τῷ παρόντι ἐζώγρησαν, οὐ πολλῷ δὲ
he-was in indeed the present took(-him)-alive not much and
ὕστερον τὸν ἄνθρωπον διεχρήσαντο.
later the man made-away-with

26.28 Ἰωάννης μὲν οὖν καὶ Ἄρουφος ξὺν τοῖς ἑπομένοις
John indeed then and Arufus with the(-men) following
ἔφευγόν τε πάσῃ δυνάμει καὶ ἐς τὸν Δρυοῦντα δρόμῳ
fled both with-all power and to — Dryus at-(a)-run
ἀφίκοντο, Γότθοι δὲ τὸ Ῥωμαίων στρατόπεδον λῃϊσάμενοι
arrived Goths and the of-Romans camp having-plundered
ἀπεχώρησαν.
withdrew

27.1 Τὰ μὲν οὖν ἐν Ἰταλιώταις στρατόπεδα τῇδε ἐφέρετο.
the indeed then among Italians armies in-this-way went
βασιλεὺς δὲ Ἰουστινιανὸς στράτευμα πέμπειν ἄλλο ἐπὶ
(the)-emperor and Justinian army to-send other against
Γότθους καὶ Τουτίλαν ἔγνω, γράμμασι τοῖς Βελισαρίου
Goths and Totila resolved by-letters the of-Belisarius
ἠγμένος, ἐπεὶ αὐτὸν ἐς τοῦτο ἐνῆγε, τὰ παρόντα σφίσι
led since him to this he-urged the present(-situation) for-them
πολλάκις σημήνας.
often having-signified

πρῶτα μὲν οὖν Πακούριόν τε τὸν Περανίου καὶ Σέργιον 27.2
first indeed then Pacurius both the(-son) of-Peranius and Sergius
τὸν Σολόμωνος ἀδελφιδοῦν ξὺν ὀλίγοις τισὶν ἔπεμψεν. οἱ δὲ
the of-Solomon nephew with few some he-sent they and
εἰς Ἰταλίαν ἀφικόμενοι τῷ ἄλλῳ στρατῷ αὐτίκα ξυνέμιξαν.
to Italy having-come with-the other army at-once joined
μετὰ δὲ Βῆρόν τε ξὺν Ἐρούλοις τριακοσίοις καὶ 27.3
afterward and Verus both with Eruli three-hundred and
Οὐαράζην Ἀρμένιον γένος ξὺν ὀκτακοσίοις Ἀρμενίοις
Varazes (an)-Armenian by-race with eight-hundred Armenians
στέλλει, Βαλεριανόν τε τὸν τῶν Ἀρμενίων στρατηγὸν
he-sends Valerian both the of-the Armenians general
ἐνθένδε ἀναστήσας ξὺν τοῖς ἑπομένοις δορυφόροις τε καὶ
from-there having-removed with the following guards both and
ὑπασπισταῖς πλέον ἢ χιλίοις οὖσιν ἐς Ἰταλίαν ἐκέλευεν
shield-bearers more than thousand being to Italy he-ordered
ἰέναι.
to-go
Βῆρος οὖν πρῶτος Δρυοῦντι προσχὼν καὶ τὰς ναῦς 27.4
Verus then first at-Dryus having-put-in and the ships
ἐνταῦθα ἀφεὶς μένειν μὲν αὐτοῦ οὐδαμῇ ἤθελεν, οὗ
there having-left to-remain indeed there in-no-way wished where
δὴ καὶ τὸ Ἰωάννου στρατόπεδον ἦν, ἱππεύων δὲ ξὺν
indeed also the of-John camp was riding and with
τοῖς ἀμφ᾽ αὐτὸν πρόσθεν ἤει.
the(-men) about him forward went
ἦν γὰρ οὗτος ἀνὴρ οὐ κατεσπουδασμένος, ἀλλὰ μέθης 27.5
was for this (a)-man not earnest but of-drunkenness
νόσῳ ἀνειμένος ἐκ τοῦ ἐπὶ πλεῖστον, καὶ ἀπ᾽ αὐτοῦ
by-(the)-disease relaxed from the to (the)-most and from it
θράσει ἀπερισκέπτῳ ἐς ἀεὶ εἴχετο.
by-rashness unconsidered for ever was-held

27.6 ἐπεὶ δὲ ἄγχιστά πη πόλεως Βρεντεσίου ἀφίκοντο,
when and nearest somewhere (the)-city of-Brundisium they-arrived
αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον. ἅπερ ὁ Τουτίλας
there having-encamped remained which-very — Totila
μαθὼν "Ὁ Βῆρος δυοῖν" ἔφη "τὸ ἕτερον· ἢ δυνάμει
having-learned — Verus of-two he-said the one either power
μεγάλῃ χρῆται, ἢ ἀνοίᾳ πολλῇ ἔχεται.
great uses or folly great is-held-by
27.7 ἴωμεν τοίνυν ἐπ᾽ αὐτὸν αὐτίκα δὴ μάλα, ὅπως ἢ
let-us-go therefore against him at-once indeed very so-that either
τῆς δυνάμεως ἀποπειρασώμεθα τοῦ ἀνθρώπου, ἢ τῆς
of-the power we-may-make-trial of-the man or of-the
ἀνοίας ἐκεῖνος τῆς αὑτοῦ αἴσθηται."
folly that(-man) the his-own may-perceive
27.8 ὁ μὲν οὖν Τουτίλας ταῦτα εἰπὼν στρατῷ πολλῷ ἐπ᾽
— indeed then Totila these(-things) having-said with-army great against
αὐτὸν ᾔει, Ἔρουλοι δὲ παρόντας ἤδη κατιδόντες τοὺς
him went Eruli and present already having-seen the
πολεμίους κατέφυγον ἐς ὕλην τινὰ ἐγγύς πη οὖσαν.
enemies fled into wood some near somewhere being
27.9 κυκλώσαντές τε αὐτοὺς οἱ πολέμιοι πλέον μὲν ἢ
having-surrounded both them the enemies more indeed than
διακοσίους διέφθειραν, ἔμελλον δὲ Βῆρόν τε αὐτὸν
two-hundred destroyed were-about and Verus both himself
καὶ τοὺς λειπομένους ἐς τὰς ἀκάνθας κρυπτομένους
and the(-men) remaining into the thorns hiding
χειρώσασθαι, ἀλλὰ τύχη τις αὐτοῖς ξυμβᾶσα διεσώσατο
to-subdue but fortune some to-them having-befallen saved(-them)
ἐκ τοῦ παραδόξου.
out-of the unexpected

νῆες γάρ, ἐν αἷς ὅ τε Οὐαράζης καὶ οἱ ξὺν αὐτῷ Ἀρμένιοι 27.10
ships for in which — both Varazes and the with him Armenians
ἔπλεον, ἄφνω ἐς τὴν ἐκείνῃ ἀκτὴν κατῆραν. ὅπερ ἐπεὶ
sailed suddenly to the there shore put-in which-very when
ὁ Τουτίλας εἶδε, πλείονα ἢ ἦν ὑποτοπάζων εἶναι
— Totila saw more than it-was suspecting to-be
τὸν τῶν πολεμίων στρατὸν ἄρας αὐτίκα ἐνθένδε
the of-the enemies army having-set-out at-once from-there
ἀπήλαυνεν, οἵ τε ἀμφὶ τὸν Βῆρον ἄσμενοι ἐς τὰς
rode-away the(-men) both about — Verus gladly to the
ναῦς δρόμῳ ἀφίκοντο.
ships at-(a)-run arrived
ὅ τε Οὐαράζης πλεῖν μὲν ἐπίπροσθεν οὐκέτι ἔγνω, ἐς 27.11
— both Varazes to-sail indeed forward no-longer resolved to
δὲ τὸν Τάραντα ξὺν αὐτοῖς ἦλθεν, οὗ δὴ καὶ Ἰωάννης
and — Taras with them came where indeed also John
ὁ Βιταλιανοῦ παντὶ τῷ στρατῷ ἀφίκετο οὐ πολλῷ
the(-nephew) of-Vitalian with-all the army arrived not much
ὕστερον. ταῦτα μὲν οὖν τῇδε ἐχώρησε.
later these(-things) indeed then in-this-way went
Βελισαρίῳ δὲ βασιλεὺς ἔγραψεν ὅτι δὴ πολλὴν αὐτῷ 27.12
to-Belisarius and (the)-emperor wrote that indeed great to-him
στρατιὰν πέμψειεν, οἵσπερ αὐτὸν δεῖν ἐν Καλαβρίᾳ
(an)-army he-had-sent with-whom-very him it-was-needful in Calabria
ξυμμίξαντα τοῖς πολεμίοις ὁμόσε ἰέναι.
having-joined with-the enemies to-close to-go
ἤδη δὲ καὶ Βαλεριανὸς ἄγχιστα κόλπου τοῦ Ἰονίου 27.13
already and also Valerian nearest (the)-gulf the Ionian
ἥκων διαπορθμεύσασθαι μὲν ᾤετό οἱ ἔν γε τῷ
having-come to-cross indeed thought for-him in at-least the
παρόντι ἀξύμφορον εἶναι.
present unprofitable to-be

27.14 στρατιώταις τε γὰρ καὶ ἵπποις ἐς ἐκεῖνο τοῦ καιροῦ τὰ
for-soldiers both for and horses at that of-the time the
ἐπιτήδεια οὐκ ἂν ἐπαρκέσειν, ἐπεὶ ἀμφὶ τροπὰς χειμερινὰς
provisions not — would-suffice since about (the)-solstice winter
ἦν.
it-was

27.15 τριακοσίους δὲ τῶν αὐτῷ ἑπομένων Ἰωάννῃ πέμψας
three-hundred and of-the him following to-John having-sent
ὡμολόγησε διαχειμάσας ἅμα ἦρι ἀρχομένῳ καὶ αὐτὸς
he-agreed having-wintered together-with spring beginning also himself
ἥξειν.
to-come

27.16 Βελισάριος οὖν ἐπειδὴ τὰ βασιλέως ἀνελέξατο γράμματα,
Belisarius then when the of-(the)-emperor read letters
ἐνακοσίους ἀριστίνδην ἀπολεξάμενος, ἱππεῖς μὲν
nine-hundred by-merit having-chosen horsemen indeed
ἑπτακοσίους, πεζοὺς δὲ διακοσίους, τούς τε λοιποὺς
seven-hundred foot-soldiers and two-hundred the both rest
ἅπαντας ἐς φυλακὴν τῆς ἐκείνῃ χώρας καταστησάμενος,
all for guard of-the there land having-set
ἄρχοντά τε αὐτοῖς Κόνωνα ἐπιστήσας ἐπὶ Σικελίας
commander both over-them Conon having-placed for Sicily
αὐτίκα ἔπλει.
at-once sailed

27.17 ἔνθεν τε ἀνηγάγετο, καταίρειν διανοούμενος ἐς τὸν
from-there both be-put-out to-put-in intending into the
Ταραντηνῶν λιμένα, ἐν ἀριστερᾷ ἔχων τὸν Σκύλαιον
of-Tarentines harbor on left having — Scylaeum
καλούμενον χῶρον, ἐφ' οὗ δὴ τὴν Σκύλλαν οἱ ποιηταὶ
called place on which indeed — Scylla the poets
γεγενῆσθαί φασιν, οὐχ ὅτι ταύτῃ πη τὸ θηριῶδες
to-have-been say not because there somewhere the beast-like

γύναιον, ὥσπερ ἐκεῖνοι λέγουσιν, ἦν, ἀλλ᾽ ὅτι σκυλάκων
little-woman as those say was but because of-dogfish
μέγα τι χρῆμα, οὕσπερ κυνίσκους τανῦν καλοῦσιν, ἐνταῦθα
great some quantity which-very little-dogs now they-call there
τοῦ πορθμοῦ ἐκ παλαιοῦ τε καὶ ἐς ἐμὲ ξυμβαίνει εἶναι.
of-the strait from of-old both and to me happens to-be
τὰ γὰρ ὀνόματα τοῖς πράγμασιν ἀρχὴν μὲν εἰκότα 27.18
the for names to-the things at-(the)-beginning indeed fitting
ἐς ἀεὶ γίνεται, ἡ δὲ φήμη αὐτὰ περιαγαγοῦσα ἐς ἄλλους
for ever become the and report them having-carried-round to other
ἀνθρώπους τινὰς δόξας οὐκ ὀρθὰς ἀγνοίᾳ τῶν ἀληθινῶν
men some opinions not right by-ignorance of-the true(-things)
ἐνταῦθα ποιεῖται.
there makes
καὶ προϊὼν οὗτος ὁ χρόνος ἰσχυρὸς μέν τις δημιουργὸς 27.19
and advancing this the time strong indeed some craftsman
αὐτίκα τοῦ μύθου καθίσταται, μάρτυρας δὲ τῶν οὐ
at-once of-the myth is-established (as)-witnesses and of-the(-things) not
γεγονότων τοὺς ποιητὰς ἐξουσίᾳ τῆς τέχνης, ὡς τὸ εἰκός,
having-happened the poets by-license of-the art as the likely
ἑταιρίζεται. ταῦτά τοι ἐκ παλαιοῦ μὲν ὠνόμασαν
it-takes-as-comrades these(-things) indeed from of-old indeed named
ἐπιχώριοι Κυνὸς Κεφαλὴν ἄκραν τὴν μίαν Κερκύρας τῆς
natives Dog's Head (the)-cape the one of-Corcyra the
νήσου, ἣ πρὸς ἀνίσχοντα ἥλιόν ἐστιν, ἄλλοι δὲ ἀπ᾽ αὐτοῦ
island which toward rising sun is others and from it
κυνοκεφάλους τινὰς εἶναι βούλονται τοὺς τῇδε ἀνθρώπους.
dog-headed some to-be wish the there men
ἀλλὰ καὶ Λυκοκρανίτας καλοῦσι τῶν Πισιδῶν τινας, οὐχ 27.20
but also Lycocranitae they-call of-the Pisidians some not
ὅτι λύκων κεφαλὰς ἔχουσιν, ἀλλ᾽ ὅτι Λύκου Κράνα
because of-wolves heads they-have but because Wolf's Head

τὸ ὄρος ἐκλήθη, ὃ ταύτῃ ἀνέχει. ἀλλὰ ταῦτα μὲν
the mountain was-called which there rises but these(-things) indeed
ὅπη ἑκάστῳ βουλομένῳ εἴη ταύτῃ δοκείτω τε καὶ
as to-each wishing it-may-be in-this-way let-it-seem both and
λεγέσθω. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι.
let-it-be-said I and whence-very I-digressed return

28.1 Βελισάριος μὲν οὖν εὐθὺ ἰέναι τοῦ Τάραντος ἐν σπουδῇ
Belisarius indeed then straight to-go — for-Taras in zeal
εἶχεν. ἔστι δέ τις ἀκτὴ μηνοειδὴς ἐνταῦθα, οὗ δὴ τῆς
had there-is and some shore crescent-shaped there where indeed the
ἠϊόνος ὑποχωρούσης ἡ θάλασσα ὥσπερ ἐν κόλπῳ ἐπὶ
beach receding the sea as in (a)-gulf to
πλεῖστον τῆς γῆς ἀναβαίνει.
(the)-most of-the land goes-up

28.2 καὶ ὁ μὲν τῆς ἀκτῆς ταύτης διάπλους ἅπας ἐς χιλίους
and the indeed of-the shore this sailing-around all to thousand
σταδίους διήκει, ἑκατέρωθι δὲ παρὰ τοῦ ῥεύματος τὴν
stades extends on-each-side and by of-the current the
ἐκβολὴν κεῖται πολίσματα δύο· θάτερον μὲν ὁ Κρότων
outlet lie towns two the-one indeed — Croton
πρὸς δύοντά που τὸν ἥλιον, ὁ Τάρας δὲ πρὸς ἀνίσχοντα.
toward setting somewhere the sun — Taras and toward rising

28.3 κατὰ δὲ τὸ μέσον τῆς ἠϊόνος Θουρίων ἡ πόλις οἰκεῖται.
along and the middle of-the beach of-Thurii the city is-inhabited
τοῦ δὲ χειμῶνος ἀντιστατοῦντος καὶ τοῦ πνεύματος σὺν
the and winter opposing and the wind with
πολλῷ ῥοθίῳ βιαζομένου, περαιτέρω δὲ τὰς ναῦς ἰέναι
much surf forcing further and the ships to-go
οὐδαμῇ ἐφιέντος, τῷ Κροτωνιατῶν λιμένι προσέσχε.
in-no-way permitting at-the of-Crotoniates harbor he-put-in

Βελισάριος οὖν, ἐπεὶ οὔτε τι ὀχύρωμα ἐνταῦθα εὗρεν 28.4
Belisarius then since neither any stronghold there he-found
οὔτε τοῖς στρατιώταις ὅθεν ἂν τὰ ἐπιτήδεια ἐσκομίζοιντο
nor for-the soldiers whence — the provisions might-be-brought-in
εἶχεν, αὐτὸς μὲν ξύν τε τῇ γυναικὶ καὶ τοῖς πεζοῖς
he-had he indeed with both the wife and the foot-soldiers
αὐτοῦ ἔμεινεν, ὅπως ἐνθένδε μεταπέμπεσθαί τε καὶ διέπειν
there remained so-that from-there to-send-for both and to-direct
τὸ ξὺν τῷ Ἰωάννῃ στράτευμα δύνηται·
the with — John army he-might-be-able
τοὺς δὲ ἱππεῖς ἅπαντας ἐπίπροσθεν ἐκέλευεν ἰόντας 28.5
the and horsemen all forward he-ordered going
στρατοπεδεύεσθαι παρὰ τὰς τῆς χώρας εἰσόδους, Φάζαν
to-encamp by the of-the land entrances Phazas
τε τὸν Ἴβηρα καὶ Βαρβατίωνα τὸν δορυφόρον αὐτοῖς
both the Iberian and Barbation the guard over-them
ἐπιστήσας.
having-set
οὕτω γὰρ αὐτοὺς ῥᾷστα ᾤετο σφίσι μὲν καὶ ἵπποις τοῖς 28.6
thus for them most-easily he-thought for-themselves indeed and for-horses the
σφετέροις τὰ ἐπιτήδεια πάντα πορίζεσθαι, τοὺς δὲ πολεμίους
their-own the provisions all to-procure the and enemies
ἐν στενοχωρίᾳ, ὡς τὸ εἰκός, ἀποκρούεσθαι δυνατοὺς ἔσεσθαι.
in narrowness as the likely to-repel able to-be
τὰ γὰρ Λευκανῶν ὄρη μέχρι ἐς Βριττίους διήκοντα καὶ 28.7
the for of-Lucanians mountains as-far to Bruttii extending and
πρὸς ἄλληλα ἐν στενῷ ξυνιόντα δύο μόνας εἰσόδους
to one-another in (a)-narrow(-way) coming-together two only entrances
στενὰς μάλιστα ἐνταῦθα ποιεῖται, ὧν ἁτέρα μὲν Πέτρα
narrow most there make of-which the-one indeed Rock

Αἵματος τῇ Λατίνων φωνῇ κέκληται, Λαβοῦλαν δὲ τὴν
of-Blood in-the of-Latins language has-been-called Labula and the
ἑτέραν καλεῖν οἱ ἐπιχώριοι νενομίκασιν.
other to-call the natives have-been-accustomed

28.8 ἐνταῦθα μὲν παρὰ τὴν ἀκτὴν Ῥουσκιανή ἐστι τὸ Θουρίων
there indeed by the shore Ruscia is the of-Thurii
ἐπίνειον, ὕπερθεν δὲ αὐτοῦ ὅσον ἀπὸ σταδίων ἑξήκοντα
port above and it as-much-as from stades sixty
φρούριον ἐχυρώτατον ἐδείμαντο οἱ πάλαι Ῥωμαῖοι. ὅπερ
(a)-fortress very-strong built the of-old Romans which-very
Ἰωάννης πολλῷ πρότερον καταλαβὼν ἔτυχε φρουράν τε
John much before having-seized happened (a)-garrison both
λόγου ἀξίαν ἐκείνῃ καταστησάμενος.
of-account worthy there having-set

28.9 Οἱ μὲν οὖν Βελισαρίου στρατιῶται ἐνταῦθά πη ἰόντες
the indeed then of-Belisarius soldiers there somewhere going
πολεμίων στρατεύματι ἐντυγχάνουσιν, οὕσπερ ὁ Τουτίλας
of-enemies with-(an)-army meet which-very — Totila
ἔπεμψεν, ἐφ' ᾧ ἀποπειράσονται τοῦ τῇδε φρουρίου.
sent on which they-will-make-trial of-the there fortress

28.10 ἐς χεῖρας δὲ αὐτοῖς αὐτίκα ἐλθόντες ἀρετῇ τε οὐδενὶ
to hands and with-them at-once having-come by-valor both with-no
πόνῳ ἔτρεψαν, καίπερ αὐτῶν τῷ πλήθει παρὰ πολὺ
toil they-routed(-them) although than-them in-the number by much
ἐλασσούμενοι, καὶ πλέον ἢ διακοσίους διέφθειραν.
being-inferior and more than two-hundred destroyed

28.11 οἱ δὲ λοιποὶ φεύγοντες παρὰ Τουτίλαν τε ἀφίκοντο καὶ
the and rest fleeing to Totila both arrived and
τὰ ξυμπεσόντα πάντα ἐσήγγελλον· οἵ τε Ῥωμαῖοι
the(-things) having-befallen all reported the both Romans

αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον, ἅτε δὲ ἄναρχοι καὶ
there having-encamped remained as and leaderless and
νενικηκότες ἀδεέστερον τῇ διαίτῃ ἐχρῶντο.
having-conquered more-fearlessly the way-of-life used
οὔτε γὰρ ἀγηγερμένοι ἡσύχαζον οὔτε ἄγχιστα τῆς 28.12
neither for gathered kept-quiet nor nearest the
στενοχωρίας ἐγκαθεζόμενοι τὰς εἰσόδους ἐφύλασσον, ἀλλ᾽ ἐς
narrows sitting the entrances guarded but into
ὀλιγωρίαν τραπόμενοι νύκτωρ μὲν ὡς ἀπωτάτω ἀλλήλων
carelessness having-turned by-night indeed as farthest from-one-another
διεσκηνημένοι ἐκάθευδον, ἐν δὲ δὴ τῇ ἡμέρᾳ τὰ ἐπιτήδεια
scattered slept in and indeed the day the provisions
διερευνώμενοι περιήρχοντο, οὔτε τινὰς ἐπὶ κατασκοπῇ
searching-for went-around neither any on spying
στείλαντες οὔτε ἄλλο ὁτιοῦν ἀσφαλείας πέρι βεβουλευμένοι.
having-sent nor other anything of-safety about having-planned
Τουτίλας οὖν, ἐπειδὴ ἐπύθετο ἅπαντα, ἐς τρισχιλίους 28.13
Totila then when he-learned all(-things) to three-thousand
ἱππεῖς τοῦ παντὸς στρατοπέδου ἀπολεξάμενος ἐπὶ τοὺς
horsemen of-the whole camp having-chosen against the
πολεμίους ᾔει.
enemies went
καὶ αὐτοῖς ἐπιπεσὼν ἀπροσδοκήτως οὐ ξυντεταγμένοις, 28.14
and upon-them having-fallen unexpectedly not drawn-up
ἀλλ᾽ οὕτω περιιοῦσιν, ὥσπερ εἴρηται, κατέπληξέ τε
but thus going-around as has-been-said he-struck-with-terror both
καὶ συνετάραξεν ἅπαντας.
and confounded all
ἐνταῦθα Φάζας (ἄγχιστα γάρ πη ἐσκηνημένος 28.15
there Phazas nearest for somewhere encamped
ἐτύγχανεν) ὑπαντιάσας τοῖς πολεμίοις ἔργα τε ἀρετῆς
he-happened(-to-be) having-met the enemies deeds both of-valor

ἄξια ἐνδειξάμενος, τισὶ μὲν τοῦ διαφυγεῖν αἴτιος γέγονεν,
worthy having-displayed to-some indeed of-the to-escape cause became
αὐτὸς δὲ ξὺν τοῖς ἀμφ᾽ αὐτὸν ἅπασι θνήσκει.
he and with the(-men) about him all dies

28.16 μέγα τε πάθος τοῦτο Ῥωμαίοις ξυνέβη, ἐπεὶ ἐς αὐτοὺς
great both disaster this to-Romans befell since on them
ἅτε διαφέροντας τὰ πολέμια τὴν ἐλπίδα ξύμπαντες
as excelling in-the(-things) of-war the hope all
εἶχον.
had

28.17 ὅσοι μέντοι φυγεῖν ἴσχυσαν, ὥς πη ἑκάστῳ δυνατὰ
as-many-as however to-flee were-able as somehow for-each possible
γέγονε, διεσώθησαν. πρῶτός τε Βαρβατίων ὁ Βελισαρίου
became were-saved first both Barbation the of-Belisarius
δορυφόρος ξὺν ἑτέροις δυοῖν φεύγων ἀνὰ κράτος ἐς τὸν
guard with others two fleeing at-full speed to —
Κρότωνα ἦλθε. καὶ τύχην τὴν παροῦσαν ἀπαγγέλλων
Croton came and (the)-fortune the present reporting
ἐπεῖπεν οἴεσθαι αὐτίκα δὴ μάλα καὶ τοὺς βαρβάρους
he-added to-think at-once indeed very also the barbarians
παρέσεσθαι.
to-be-present

28.18 Βελισάριος δὲ ταῦτα ἀκούσας ἔν τε μεγάλῳ πένθει
Belisarius and these(-things) having-heard in both great grief
ἐγίνετο καὶ ἐς τὰς ναῦς ἐσεπήδησεν. ἔνθεν τε ἄραντες
was and into the ships leapt from-there both having-set-out
καὶ πνεύματος ἐπιτυχόντες ἐκείνῃ τῇ ἡμέρᾳ τῇ Σικελίας
and (a)-wind having-met on-that the day at-the of-Sicily
Μεσήνῃ προσέσχον, ἣ τοῦ μὲν Κρότωνος ἑπτακοσίους
Messene put-in which — indeed from-Croton seven-hundred
σταδίους διέχει, Ῥηγίνων δὲ καταντικρὺ κεῖται.
stades is-distant of-Rhegians and opposite lies

Ὑπὸ τοῦτον τὸν χρόνον Σκλαβηνῶν στράτευμα διαβάντες 29.1
about this the time of-Sclaveni army having-crossed
ποταμὸν Ἴστρον Ἰλλυριοὺς ἅπαντας ἄχρι Ἐπιδαμνίων
(the)-river Ister Illyrians all as-far-as Epidamnians
ἔδρασαν ἀνήκεστα ἔργα, κτείνοντες καὶ ἀνδραποδίζοντες
did irreparable deeds killing and enslaving
τοὺς ἐν ποσὶν ἡβηδὸν ἅπαντας καὶ τὰ χρήματα
the(-ones) in (the)-way young-and-old all and the money
ληϊζόμενοι.
plundering
ἤδη δὲ καὶ φρούρια ἐνταῦθα πολλά τε καὶ δοκοῦντα ἐχυρὰ 29.2
already and also fortresses there many both and seeming strong
τὰ πρότερα εἶναι οὐδενὸς ἀμυνομένου ἐξελεῖν ἴσχυσαν,
the former(-times) to-be no-one resisting to-take they-were-able
καὶ περιήρχοντο ξύμπαντα κατ' ἐξουσίαν διερευνώμενοι.
and went-around all at liberty searching
οἱ δὲ τῶν Ἰλλυριῶν ἄρχοντες στράτευμα πεντακισχιλίων 29.3
the and of-the Illyrians commanders army of-five-thousand
τε καὶ μυρίων ἔχοντες εἵποντο, ἄγχιστα μέντοι τῶν
both and ten-thousand having followed nearest however the
πολεμίων οὐδαμῇ ἐτόλμων ἰέναι.
enemies in-no-way they-dared to-go
τότε δὲ καὶ σεισμοὶ πολλάκις χειμῶνος ὥρᾳ σκληροί τε 29.4
then and also earthquakes often in-winter's season harsh both
λίαν καὶ ὑπερφυεῖς ἔν τε Βυζαντίῳ καὶ χωρίοις ἄλλοις
very and extraordinary in both Byzantium and places other
ἐγένοντο, νύκτωρ ἅπαντες.
occurred by-night all

29.5 καὶ οἱ μὲν ταύτῃ ᾠκημένοι καταχωσθήσεσθαι ὑποτοπήσαντες
and the indeed there dwelling to-be-buried suspecting
ἐν δέει μεγάλῳ ἐγένοντο, οὐδὲν μέντοι ἐνθένδε φλαῦρον
in fear great were nothing however from-there bad
αὐτοῖς ξυνηνέχθη παθεῖν.
to-them befell to-suffer

29.6 τότε καὶ Νεῖλος ὁ ποταμὸς ὑπὲρ ὀκτωκαίδεκα πήχυς
then also Nile the river beyond eighteen cubits
ἀναβὰς ἐπέκλυσε μὲν τὴν Αἴγυπτον καὶ ἤρδευσε πᾶσαν,
having-risen flooded indeed — Egypt and watered all
ἀλλὰ ἐν μὲν Θηβαΐδι τῇ ὕπερθεν οὔσῃ ὑφιζάνοντά
but in indeed (the)-Thebaid the above being subsiding
τε καὶ ἀποχωροῦντα τοῖς καθήκουσι χρόνοις τὰ ὕδατα
both and withdrawing at-the appointed times the waters
παρείχετο τοῖς τῇδε ᾠκημένοις σπείρειν τε τὴν γῆν
allowed to-the(-ones) there dwelling to-sow both the land
καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι ᾗπερ εἰώθει·
and of-the other(-things) to-take-care as-very it-was-wont

29.7 χώρας δὲ τῆς ἔνερθεν ἐπειδὴ πρῶτον ἐπεπόλασεν, οὐκέτι
of-the-land and the below when first it-had-flooded no-longer
ἀπέβη, ἀλλ᾽ ἐνοχλῶν αὐτῇ ξύμπαντα διαγέγονε τὸν τοῦ
it-went-off but troubling it all has-lasted-through the of-the
σπείρειν καιρόν, οὐ ξυμπεσὸν τοῦτό γε πρότερον ἐκ
to-sow season not having-happened this at-least before from
τοῦ παντὸς αἰῶνος, ἔστι δὲ οὗ καὶ ἀπολωφῆσαν τὸ
the whole age it-is and where also having-abated the
ὕδωρ ἐπέκλυσεν αὖθις οὐ πολλῷ ὕστερον.
water flooded again not much later

29.8 ταύτῃ τε ἅπαντα ἐσησήπει τὰ σπέρματα, ὅσα δὴ
in-this-way both all had-rotted the seeds as-many-as indeed
μεταξὺ καταβεβλημένα ἐς τὴν γῆν ἔτυχε. καὶ οἱ μὲν
in-between cast into the ground happened and the indeed

ἄνθρωποι τῷ παραλόγῳ τῆς ξυμφορᾶς ἀμηχανίᾳ πολλῇ
men by-the unexpectedness of-the calamity by-helplessness much
εἴχοντο, τῶν δὲ ἄλλων ζῴων ἀπορίᾳ τροφῆς τὰ πλεῖστα
were-held of-the and other animals by-want of-food the most
ἐφθάρη.
perished

Τότε καὶ τὸ κῆτος, ὃ δὴ Βυζάντιοι Πορφύριον 29.9
then also the sea-monster which indeed Byzantines Porphyrius
ἐκάλουν, ἑάλω. τοῦτό τε τὸ κῆτος πλέον μὲν ἢ ἐς
called was-caught this both the sea-monster more indeed than to
πεντήκοντα ἐνιαυτοὺς τό τε Βυζάντιον καὶ τὰ ἀμφ' αὐτὸ
fifty years — both Byzantium and the about it
χωρία ἠνώχλει, οὐκ ἐφεξῆς μέντοι, ἀλλὰ διαλεῖπον, ἂν
places troubled not in-succession however but leaving-off if
οὕτω τύχῃ, πολύν τινα μεταξὺ χρόνον.
thus it-should-happen much some between time

καὶ πολλὰ μὲν κατέδυσε πλοῖα, πολλῶν δὲ τοὺς ἐπιβάτας 29.10
and many indeed it-sank boats of-many and the passengers
ξυνταράττον τε καὶ βιαζόμενον ὡς ἀπωτάτω ἀπήνεγκεν.
confounding both and forcing as farthest carried-off
ἐπιμελὲς μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ ἐγεγόνει τὸ θηρίον
(a)-care indeed then to-Justinian emperor had-become the beast
τοῦτο χειρώσασθαι, ἐπιτελέσαι δὲ τὸ βούλευμα οὐδεμιᾷ
this to-subdue to-accomplish and the plan by-no
μηχανῇ ἔσχεν. ὅπως δὲ αὐτῷ τανῦν ἁλῶναι ξυνέπεσεν,
means he-was-able how and for-it now to-be-caught befell
ἐγὼ δηλώσω.
I will-show

29.11 ἐτύγχανε μὲν γαλήνη τὴν θάλασσαν πολλὴ ἔχουσα,
happened indeed (a)-calm the sea great holding
δελφίνων δὲ πάμπολύ τι πλῆθος ἄγχιστά πη τοῦ
of-dolphins and very-great some multitude nearest somewhere the
στόματος Πόντου τοῦ Εὐξείνου ξυνέρρεον.
mouth of-(the)-Pontus the Euxine streamed-together
29.12 οἵπερ ἐκ τοῦ αἰφνιδίου τὸ κῆτος ἰδόντες ἔφευγον ὥς
who-very out-of the sudden the sea-monster having-seen fled as
πη ἑκάστῳ δυνατὰ γέγονεν, οἱ δὲ πλεῖστοι ἀμφὶ τοῦ
somehow for-each possible became the and most about the
Σαγάριδος τὰς ἐκβολὰς ἦλθον. τινὰς μὲν οὖν αὐτῶν
of-Sangarius the mouths came some indeed then of-them
καταλαβὸν τὸ κῆτος καταπιεῖν εὐθὺς ἴσχυσεν.
having-caught the sea-monster to-swallow at-once was-able
29.13 εἴτε δὲ πείνῃ εἴτε φιλονεικίᾳ ἔτι ἐχόμενον οὐδέν τι
whether and by-hunger or by-contentiousness still held nothing at-all
ἧσσον ἐδίωκεν, ἕως δὴ αὐτὸ ἄγχιστά πη τῆς γῆς
less it-pursued until indeed it nearest somewhere the land
ἐκπεσὸν ἔλαθεν.
having-run-aground it-was-unaware
29.14 ἐνταῦθά τε ἰλύϊ βαθείᾳ κομιδῇ ἐντυχὸν ἐβιάζετο μὲν
there both mud deep quite having-met it-struggled indeed
καὶ πάντα ἐκίνει, ὅπως δὴ ἐνθένδε ὅτι τάχιστα
and all(-things) moved so-that indeed from-there as quickest
ἀπαλλάσσοιτο, διαφυγεῖν δὲ τὸ τέναγος τοῦτο οὐδαμῇ
it-might-get-free to-escape and the shallow this in-no-way
εἶχεν, ἀλλ' ὑπὸ τῷ πηλῷ ἔτι μᾶλλον ἐγίνετο.
it-was-able but under the mire still more it-came
29.15 ἐπεὶ δὲ τοῦτο ἐς τοὺς περιοίκους ἅπαντας ἦλθε,
when and this to the neighbors all came
δρόμῳ εὐθὺς ἐπ' αὐτὸ ᾔεσαν, ἀξίναις τε πανταχόθεν
at-(a)-run at-once against it they-went with-axes both from-all-sides

ἐνδελεχέστατα κόψαντες οὐδ᾽ ὡς ἔκτειναν, ἀλλὰ σχοίνοις
most-persistently having-cut not-even so they-killed(-it) but with-ropes
ἁδραῖς τισιν εἷλκον.
stout some they-dragged(-it)
ἔν τε ἁμάξαις ἐνθέμενοι εὗρισκον μῆκος μὲν πηχῶν 29.16
on both wagons having-put(-it) they-found length indeed of-cubits
μάλιστα τριάκοντα ὄν, εὖρος δὲ δέκα. ἐνταῦθά τε κατὰ
about thirty being breadth and ten there both in
συμμορίας τινὰς διασπασάμενοι οἱ μέν τινες αὐτοῦ ἐν
companies some having-torn-apart the indeed some of-it in
τῷ παρόντι ἐγεύσαντο, οἱ δὲ καὶ μοῖραν ταριχεῦσαι τὴν
the present tasted the and also (the)-portion to-pickle the
ἐπιβάλλουσαν σφίσιν ἔγνωσαν.
falling to-them resolved
Βυζάντιοι δέ, ἐπειδὴ τῶν τε σεισμῶν ᾔσθοντο καὶ τὰ 29.17
Byzantines and when the both earthquakes they-perceived and the(-things)
ξυμπεσόντα ἀμφί τε τῷ Νείλῳ καὶ τῷ κήτει τούτῳ
having-befallen about both the Nile and the sea-monster this
ἔγνωσαν, προὔλεγον αὐτίκα ξυμβήσεσθαι ὅσα δὴ
they-learned foretold at-once to-happen as-much-as indeed
αὐτῶν ἑκάστῳ ἤρεσκε.
of-them to-each pleased
φιλοῦσι γὰρ ἄνθρωποι τοῖς παροῦσι διαπορούμενοι 29.18
love for men at-the present(-things) being-at-a-loss
τὰ ἐσόμενα τερατεύεσθαι, καὶ τοῖς ἐνοχλοῦσιν
the(-things) to-be to-tell-marvels and by-the(-things) troubling(-them)
ἀποκναιόμενοι τὰ ξυμβησόμενα λόγῳ οὐδενὶ
being-worn-out the(-things) going-to-happen by-reason no
τεκμηριοῦσθαι.
to-conjecture

29.19 ἐγὼ δὲ μαντείας τε καὶ τεράτων δηλώσεις ἄλλοις ἀφιεὶς
I and prophecies both and of-portents interpretations to-others leaving
ἐκεῖνο εὖ οἶδα, ὡς ἡ μὲν τοῦ Νείλου ἐπὶ τῆς χώρας
that well know that the indeed of-the Nile on the land
διατριβὴ μεγάλων αἰτία ἔν γε τῷ παρόντι συμφορῶν
stay of-great (the)-cause in at-least the present calamities
γέγονε, τὸ δὲ κῆτος ἀφανισθὲν πολλῶν ἀπαλλαγὴ
has-become the and sea-monster having-vanished of-many (a)-release
κακῶν διαδείκνυται οὖσα.
evils is-shown being

29.20 τινὲς δέ φασιν οὐ τὸ κῆτος τοῦτο, οὗπερ ἐμνήσθην,
some and say not the sea-monster this which-very I-mentioned
ἀλλ' ἕτερον εἶναι, ὃ δὴ ἁλῶναι ξυνέπεσεν. ἐγὼ δὲ
but another to-be which indeed to-be-caught befell I and
ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.
whence the digression of-the account I-made return

29.21 Τουτίλας οὖν ταῦτα διαπεπραγμένος, ἃ προδεδήλωται,
Totila then these(-things) having-accomplished which have-been-shown-before
ἐπεὶ Ῥωμαίους τοὺς ἐν τῷ ἐπὶ Ῥουσκιανῆς φρουρίῳ
when Romans the(-ones) in the at Ruscia fortress
τῶν ἀναγκαίων ὑποσπανίζειν ἐπύθετο, ἐξαιρήσειν αὐτοὺς
of-the necessities to-be-short he-learned to-take them
οἰόμενος ὅτι τάχιστα, ἢν μή τι ἐσκομίζεσθαι τῶν
thinking as quickest if not anything to-bring-in of-the
ἐπιτηδείων οἷοί τε ὦσιν, ἐστρατοπεδεύσατό τε ὡς
provisions able — they-be he-encamped both as
ἀγχοτάτω καὶ ἐγκαθεζόμενος ἐς πολιορκίαν καθίστατο.
nearest and having-sat-down into siege settled
καὶ ὁ χειμὼν ἔληγε, καὶ τρισκαιδέκατον ἔτος ἐτελεύτα
and the winter was-ending and (the)-thirteenth year ended
τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.
for-the war this which Procopius wrote

Theodora dies. Belisarius' fleet fails to relieve Ruscia, which surrenders, and Totila kills Chalazar. Antonina obtains Belisarius' recall. Artabanes, kept from Praejecta and bound to the wife he had divorced, is drawn by Arsaces into a plot to kill Justinian and to win over Germanus and his son Justinus; Marcellus has Leontius overhear Chanaranges, the plot is reported, and Justinian harms none but holds all in the palace.

Βασιλεὺς δὲ Ἰουστινιανὸς πεζοὺς στρατιώτας οὐχ ἧσσον 30.1
(the)-emperor and Justinian foot-soldiers soldiers not less
ἢ δισχιλίους ἐς Σικελίαν ναυσὶν ἔπεμψε καὶ Βαλεριανὸν
than two-thousand to Sicily in-ships sent and Valerian
οὐδεμιᾷ μελλήσει παρὰ Βελισάριον ἐκέλευεν ἰέναι.
with-no delay to Belisarius ordered to-go
καὶ ὃς διαπορθμευσάμενος ἐς τὸν Δρυοῦντα κατέπλευσεν, 30.2
and he having-crossed to — Dryus sailed-in
οὗ δὴ καὶ Βελισάριον ξὺν τῇ γυναικὶ εὗρεν.
where indeed also Belisarius with the wife he-found
ὑπὸ τοῦτον τὸν χρόνον Ἀντωνίνα μὲν ἡ Βελισαρίου γυνὴ 30.3
about this the time Antonina indeed the of-Belisarius wife
ἐς Βυζάντιον στέλλεται, τῆς βασιλίδος δεησομένη μείζονι
to Byzantium is-sent of-the empress going-to-beg with-greater
παρασκευῇ τὸν πόλεμον ἐξαρτύεσθαι.
preparation the war to-equip
ἡ δὲ βασιλὶς Θεοδώρα νοσήσασα ἐξ ἀνθρώπων ἠφάνιστο, 30.4
the and empress Theodora having-fallen-ill from men had-vanished
ἐνιαυτοὺς ἕνα τε καὶ εἴκοσι τῇ βασιλείᾳ ἐπιβιοῦσα καὶ
years one both and twenty in-the reign having-lived and
μῆνας τρεῖς.
months three

30.5 ἐν τούτῳ δὲ οἱ ἐν τῷ ἐπὶ Ῥουσκιανῆς φρουρίῳ
in this and the(-ones) in the at Ruscia fortress
πολιορκούμενοι πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ ἐς
besieged pressed of-the necessities by-the want into
λόγους τοῖς πολεμίοις ξυνίασιν, ὡμολόγησάν τε μεσούσης
talks with-the enemies come agreed both being-mid
μάλιστα τῆς τοῦ θέρους ὥρας τὸ φρούριον ἐνδώσειν, ἢν
about the of-the summer season the fortress to-surrender if
μή τις ἐπιγένηται μεταξὺ βοήθεια σφίσιν, ἐφ' ᾧ μέντοι
not some come-on in-between help to-them on which however
ἀπαθεῖς κακῶν ἅπαντες μείνωσιν.
unharmed of-evils all they-remain

30.6 ἦσαν δὲ Ἰταλῶν μὲν ἐν τῷ φρουρίῳ τούτῳ πολλοί τε
were and of-Italians indeed in the fortress this many both
καὶ λόγιμοι, καὶ Δεοφέρων ὁ Τουλλιανοῦ ἀδελφός, τοῦ
and notable and Deopheron the of-Tullianus brother of-the
δὲ Ῥωμαίων στρατοῦ ἱππεῖς μὲν Ἰλλυριοὶ τριακόσιοι,
and of-Romans army horsemen indeed Illyrian three-hundred
οὕσπερ Ἰωάννης ἐνταῦθα καταστησάμενος ἔτυχε, Χαλαζάρ
whom-very John there having-set happened Chalazar
τε αὐτοῖς τὸν δορυφόρον ἐπιστήσας, Μασσαγέτην γένος,
both over-them the guard having-placed (a)-Massagete by-race
διαφερόντως ἀγαθὸν τὰ πολέμια, καὶ Γουδίλαν
exceedingly good in-the(-things) of-war and Gudilas
Θρᾷκα, καὶ πεζοὶ ἑκατὸν πρὸς Βελισαρίου ἐπὶ τῇ
(a)-Thracian and foot-soldiers hundred by Belisarius for the
φυλακῇ τοῦ φρουρίου σταλέντες.
guard of-the fortress sent

30.7 τότε καὶ ὅσοι στρατιῶται πρὸς Βελισαρίου ἐπὶ τῇ
then also as-many-as soldiers by Belisarius for the
Ῥώμης φρουρᾷ ἐτετάχατο τὸν σφῶν ἄρχοντα Κόνωνα
of-Rome garrison had-been-posted the their commander Conon

κτείνουσιν, ἐμπορίαν αὐτῷ τοῦ τε σίτου καὶ τῶν ἄλλων
kill trade to-him of-the both grain and of-the other
ἐπιτηδείων ἐπὶ πονηρῷ τῷ σφετέρῳ ἐπενεγκόντες.
provisions for harm the their-own having-charged
πρέσβεις τε τῶν ἱερέων τινὰς πέμπουσιν, ἀπισχυριζόμενοι 30.8
envoys both of-the priests some they-send affirming
ὡς, ἢν μὴ βασιλεὺς τούτου δὴ τοῦ ἐγκλήματος ἀμνηστίαν
that if not (the)-emperor of-this indeed the charge amnesty
σφίσι διδοίη χρόνου τε ῥητοῦ τὰς συντάξεις ἐκτίσοι
to-them should-give within-time both stated the pay should-pay
ὅσας δὴ αὐτοῖς τὸ δημόσιον ὤφειλε, Τουτίλᾳ τε καὶ
as-much-as indeed to-them the treasury owed to-Totila both and
Γότθοις οὐδὲν μελλήσαντες προσχωρήσουσι. βασιλεύς τε
Goths nothing having-delayed they-will-go-over (the)-emperor both
αὐτοῖς τὴν δέησιν ἐπιτελῆ ἐποίει.
for-them the request accomplished made
Βελισάριος δὲ τὸν Ἰωάννην ἐς τὸν Δρυοῦντα μεταπεμψάμενος 30.9
Belisarius and — John to — Dryus having-summoned
ξύν τε αὐτῷ καὶ Βαλεριανῷ καὶ ἄλλοις ἄρχουσι στόλον
with both him and Valerian and other commanders (a)-fleet
πολὺν ἀγείρας εὐθὺ Ῥουσκιανῆς κατὰ τάχος ἔπλει,
great having-gathered straight Ruscia with speed sailed
τοῖς πολιορκουμένοις ἐπαμύνειν ἐν σπουδῇ ἔχων.
the(-ones) besieged to-aid in zeal having
οἵ τε ἐν τῷ φρουρίῳ τὸν στόλον τοῦτον ἅτε ἀφ' ὑψηλοῦ 30.10
the both in the fortress the fleet this as from high
κατιδόντες εὐέλπιδές τε γενόμενοι οὐκέτι τοῖς πολεμίοις
having-seen hopeful both having-become no-longer to-the enemies
προσχωρεῖν ἔγνωσαν, καίπερ ἐνισταμένης ἤδη τῆς σφίσι
to-go-over resolved although being-at-hand already the to-them
ξυγκειμένης ἡμέρας.
agreed day

30.11 καὶ τὰ μὲν πρῶτα χειμῶνος ἐξαισίου ἐπιπεσόντος, ἄλλως
and the indeed first (a)-storm extraordinary having-fallen-on especially
τε καὶ τῆς ἐκείνῃ ἀκτῆς ἀλιμένου παντάπασιν οὔσης,
— also the there shore harborless altogether being
ταῖς ναυσὶν ἁπάσαις ὡς ἀπωτάτω ἀλλήλων ξυνηνέχθη
for-the ships all as farthest from-one-another it-befell
διασκεδάννυσθαι·
to-be-scattered

30.12 ταύτῃ τε χρόνου μῆκος σφίσι τριβῆναι ξυνέβη. αὖθίς τε
in-this-way both of-time (a)-length for-them to-be-spent it-befell again both
ἀγηγερμένοι ἐν τῷ Κροτωνιατῶν λιμένι ἐπὶ Ῥουσκιανὴν
having-gathered in the of-Crotoniates harbor for Ruscia
ἀνήγοντο. οὕσπερ ἐπεὶ οἱ βάρβαροι εἶδον, ἐπὶ τοὺς ἵππους
put-out whom-very when the barbarians saw onto the horses
ἀναθορόντες ἀμφὶ τὴν ἠϊόνα ἐγένοντο τὴν ἀπόβασιν τοῖς
having-leapt about the beach came the landing for-the
πολεμίοις ἀναστέλλειν διανοούμενοι.
enemies to-check intending

30.13 Τουτίλας τε αὐτοὺς ἐπὶ πλεῖστον τῆς ἀκτῆς ἀντιμετώπους
Totila both them to (the)-most of-the shore face-to-face
ἔστησε ταῖς τῶν νεῶν πρῴραις, τοὺς μὲν δόρατα ἔχοντας,
set to-the of-the ships prows the indeed spears having
τοὺς δὲ τὰ τόξα ἐντειναμένους.
the and the bows having-drawn

30.14 ὅπερ ἐπεὶ Ῥωμαῖοι εἶδον, κατωρρώδησάν τε καὶ ἄγχιστα
which-very when Romans saw they-shrank-in-fear both and nearest
οὐδαμῇ ἐτόλμων ἰέναι, ἀλλὰ χρόνον μέν τινα τὰς ναῦς
in-no-way they-dared to-go but time indeed some the ships
ἑκαστάτω ἀνακωχεύσαντες ἡσυχῇ ἔμενον, ὕστερον δὲ
farthest having-held-off quietly remained later and

ἀπογνόντες τὴν ἀπόβασιν πρύμναν τε πάντες ἐκρούοντο
having-despaired-of the landing stern both all backed
καὶ ἀναχθέντες τῷ Κροτωνιατῶν αὖθις λιμένι προσέσχον.
and having-put-out at-the of-Crotoniates again harbor put-in
οὗ δὴ ἐπὶ κοινῆς βουλευσαμένοις ἔδοξε σφίσιν ἄμεινον 30.15
where indeed in common having-deliberated it-seemed to-them better
εἶναι Βελισάριον μὲν ἐς Ῥώμην ἰόντα τὰ ταύτῃ τε
to-be Belisarius indeed to Rome going the(-things) there both
ὡς ἄριστα διοικήσασθαι καὶ τὰ ἐπιτήδεια ἐσκομίσασθαι,
as best to-manage and the provisions to-bring-in
Ἰωάννην δὲ καὶ Βαλεριανὸν τούς τε ἄνδρας ἐς γῆν καὶ
John and and Valerian the both men onto land and
τοὺς ἵππους ἀποβιβάσαντας ὁδῷ τε πορευομένους ἐς
the horses having-landed by-road both marching to
Πικηνοὺς ἰέναι, ξυνταράξοντας τῶν πολεμίων τοὺς
Picenes to-go going-to-throw-into-confusion of-the enemies the(-ones)
τὰ ἐκείνῃ πολιορκοῦντας πολίσματα.
the there besieging towns
οὕτω γὰρ ἂν αὐτοῖς Τουτίλαν διαλύσαντα τὴν προσεδρείαν 30.16
thus for — them Totila having-broken-up the siege
ἐπισπέσθαι ἐλπίδα εἶχον.
to-follow hope they-had
Ἰωάννης μὲν οὖν ξὺν τοῖς ἑπομένοις χιλίοις οὖσι 30.17
John indeed then with the(-men) following thousand being
κατὰ ταῦτα ἐποίει· Βαλεριανὸς δὲ τὸν κίνδυνον
according-to these(-things) did Valerian and the danger
δείσας ταῖς ναυσὶ κόλπον περιὼν τὸν Ἰόνιον ἔπλει τοῦ
having-feared with-the ships (the)-gulf going-round the Ionian sailed —
Ἀγκῶνος εὐθύ. ταύτῃ γὰρ ἐν Πικηνοῖς τε γενήσεσθαι
of-Ancon straight in-this-way for in Picenes both to-be
ξὺν τῷ ἀσφαλεῖ ᾤετο καὶ τῷ Ἰωάννῃ ξυμμῖξαι.
with the safety he-thought and — with-John to-join

30.18 ἀλλὰ Τουτίλας διαλῦσαι τὴν προσεδρείαν οὐδ' ὡς ἤθελεν,
but Totila to-break-up the siege not-even so wished
ἀλλ' αὐτὸς μὲν ἐνταῦθα καθῆστο, δισχιλίους δὲ ἱππεῖς
but he indeed there sat two-thousand and horsemen
τοῦ στρατοπέδου ἀπολεξάμενος ἐς Πικηνοὺς στέλλει, ἐφ'
of-the camp having-chosen to Picenes sends on
ᾧ τοῖς ἐνταῦθα βαρβάροις ξυμμίξαντες τοὺς ἀμφί
which with-the there barbarians having-joined the(-men) about
τε Ἰωάννην καὶ Βαλεριανὸν ἀποκρούσονται.
both John and Valerian they-will-repel

30.19 Οἱ δὲ πολιορκούμενοι ἐν τῷ ἐπὶ Ῥουσκιανῆς φρουρίῳ,
the and besieged in the at Ruscia fortress
ἐπεὶ σφᾶς τά τε ἀναγκαῖα ἤδη παντάπασιν ἐπελελοίπει
since them the both necessities already altogether had-failed
καὶ οὐδεμίαν ἔτι ἀπὸ Ῥωμαίων ἐπικουρίας ἐλπίδα εἶχον,
and no still from Romans of-help hope had
Γουδίλαν τε τὸν δορυφόρον καὶ Δεοφέροντα τὸν Ἰταλιώτην
Gudilas both the guard and Deopheron the Italian
παρὰ Τουτίλαν πέμψαντες ἐπρεσβεύοντο ἀμφὶ τῇ σωτηρίᾳ,
to Totila having-sent negotiated about the safety
δεόμενοι σφίσιν αὐτοῖς τῶν πεπραγμένων ξυγγνώμονα
begging for-them selves of-the(-things) done forgiving
εἶναι.
to-be

30.20 ὁ δὲ Τουτίλας ἐς ἄλλον οὐδένα ὅτι μὴ ἐς τὸν Χαλαζὰρ
— and Totila to other no-one except — to — Chalazar
ἐπιτελέσειν τὴν κόλασιν ἐπηγγέλλετο ἅτε τὰ πρόσθεν
to-carry-out the punishment promised as the before
ξυγκείμενα ἠλογηκότα, τοῖς δὲ ἄλλοις τὸ ἔγκλημα
agreed(-things) having-disregarded to-the and others the charge
ἐπιχωρεῖν πᾶσιν.
to-pardon all

οὕτω τοίνυν αὐτὸς τὸ φρούριον ἐδέξατο. καὶ τὸν μὲν 30.21
thus therefore he the fortress received and — indeed
Χαλαζὰρ ἄμφω τε τὼ χεῖρε ἀποτεμὼν καὶ τὰ αἰδοῖα
Chalazar both both the two-hands having-cut-off and the private-parts
εὐθὺς ἔκτεινε, τῶν δὲ στρατιωτῶν τοὺς μὲν βουλομένους
at-once killed of-the and soldiers the(-ones) indeed wishing
μένειν ἐκέλευε τὰ σφέτερα αὐτῶν ἔχοντας, ἐφ' ᾧ τὸ λοιπὸν
to-remain he-ordered the their-own of-them having on which the rest
ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ Γότθοις ξυντάξονται· ὅπερ κἀν τοῖς
on the equal and like(-terms) with-Goths they-will-be-ranged which-very also-in the
ἄλλοις ὀχυρώμασι τοῖς ἁλισκομένοις πράσσειν εἰώθει·
other strongholds the(-ones) captured to-do he-was-wont
οἷς δὲ τὸ μένειν ἐν ἡδονῇ ὡς ἥκιστα ἦν, τούτους δὴ 30.22
to-whom and the to-remain in pleasure as least was these indeed
γυμνοὺς ὅπη βούλοιντο ἐκέλευεν ἀπαλλάσσεσθαι, τοῦ μή
naked where they-wished he-ordered to-depart for-the not
τινά οἱ τῶν ἁπάντων ἀνθρώπων ἀκούσιον ξυστρατεύεσθαι.
anyone to-him of-the all men unwilling to-campaign-with(-him)
ὀγδοήκοντα μὲν οὖν τοῦ Ῥωμαίων στρατοῦ τῶν χρημάτων 30.23
eighty indeed then of-the of-Romans army the money
ἀπολελειμμένων ἐς τὸν Κρότωνα ἦλθον, οἱ δὲ ἄλλοι ξὺν
having-been-left-behind to — Croton came the and others with
τοῖς χρήμασιν αὐτοῦ ἔμειναν.
the money there remained
τῶν μέντοι Ἰταλῶν τὰ μὲν χρήματα πάντα ἀφείλετο, τὰ 30.24
of-the however Italians the indeed money all he-took-away the
δέ γε σώματα κακῶν παντάπασιν ἀπαθῆ εἴασεν.
and at-least bodies of-evils altogether unharmed he-left
Ἀντωνίνα δὲ ἡ τοῦ Βελισαρίου γυνὴ τῆς βασιλίδος 30.25
Antonina and the — of-Belisarius wife the empress
ἀπογενομένης ἐς Βυζάντιον ἀφικομένη ἐδέετο βασιλέως
having-died to Byzantium having-arrived begged (the)-emperor

μετάπεμπτόν οἱ τὸν ἄνδρα ἐνταῦθα ἐλθεῖν. ῥᾷστά τε
summoned for-her the husband there to-come most-easily both
διεπράξατο τοῦτο. ἤδη γὰρ καὶ ὁ Μηδικὸς πόλεμος
she-accomplished this already for also the Median war
ἐπικείμενος ἰσχυρότατα βασιλέα Ἰουστινιανὸν ἐς τοῦτο
pressing most-strongly (the)-emperor Justinian to this
ἐνῆγεν.
urged

31.1 Ἐν τούτῳ δέ τινες ἐπίθεσιν ἐπὶ βασιλέα Ἰουστινιανὸν
in this and some (an)-attack against (the)-emperor Justinian
ἐβουλεύσαντο. οἵπερ ὅπως τε ἐς τὸ βούλευμα τοῦτο
plotted who-very how both to the plan this
κατέστησαν καὶ τρόπῳ δὴ ὅτῳ ἀποκρουσθέντες οὐδαμῇ
they-came and in-way indeed which repulsed in-no-way
ἐς τὸ ἔργον ἀφίκοντο, αὐτίκα δηλώσω.
to the deed they-arrived at-once I-will-show

31.2 Ἀρταβάνῃ Γόνθαριν καθελόντι τὸν τύραννον, ὥσπερ μοι
to-Artabanes Gontharis having-destroyed the tyrant as by-me
ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, ἐξαισία τις ἐπιθυμία
in the earlier accounts was-said extraordinary some desire
ἐγένετο Πρεϊέκταν τὴν βασιλέως ἀδελφιδῆν, ἣν εἶχεν
arose Praejecta the of-(the)-emperor niece whom he-had
ἐγγυητήν, γυναῖκα ποιήσασθαι.
betrothed (as)-wife to-make

31.3 ὅπερ καὶ αὐτῇ βουλομένῃ ὡς μάλιστα ἦν, οὐκ ἔρωτι
which-very also to-her wishing as most was not by-love
τοῦ ἀνθρώπου ἐνταῦθα ἠγμένῃ, ἀλλ᾽ ὅτι οἱ χάριτας
of-the man there led but because to-him thanks
ὡμολόγει πολλὰς ἅτε τισαμένῳ μὲν τὸν Ἀρεοβίνδου τοῦ
she-acknowledged many as having-avenged indeed the of-Areobindus the
ἀνδρὸς φόνον, αὐτὴν δὲ ἀνασωσαμένῳ καὶ ἀναρπάσαντι,
husband murder her and having-rescued and having-snatched-up

αἰχμάλωτόν τε οὖσαν καὶ οὐκ ἐς μακρὰν τῷ τυράννῳ
captive both being and not at long to-the tyrant
Γονθάριδι μέλλουσαν οὔτι ἑκουσίαν ἐς εὐνὴν ξυνελθεῖν.
Gontharis being-about not-at-all willing to bed to-come-together
ἐπεί τε ἄμφω ταῦτα ἤρεσκε, Πρεϊέκταν μὲν Ἀρταβάνης 31.4
when both both these(-things) pleased Praejecta indeed Artabanes
βασιλεῖ ἔπεμψεν, αὐτὸς δέ, καίπερ Λιβύης ὅλης
to-(the)-emperor sent he and although of-Libya whole
στρατηγὸς καταστάς, ἔχρῃζε βασιλέως, ἀναπλάσας τινὰς
general appointed begged (the)-emperor having-fabricated some
οὐχ ὑγιεῖς σκήψεις, ὅπως αὐτὸν ἐς Βυζάντιον μεταπέμποιτο.
not sound pretexts that him to Byzantium he-might-summon
ἐνῆγε γὰρ ἐς τοῦτο αὐτὸν ἡ τοῦ γάμου ἐλπίς, ἄλλα 31.5
urged for to this him the of-the marriage hope other
τε πολλὰ ἐνθένδε ἀγαθὰ ὑποφαίνουσα καὶ τῆς βασιλείας
both many from-there goods intimating and of-the empire
οὐ πόρρω αὐτὸν τὸ λοιπὸν ἔσεσθαι.
not far him the rest to-be
οἱ γὰρ ἄνθρωποι εὐημερίας ἐκ τοῦ παραλόγου ἐπιλαβόμενοι 31.6
the for men prosperity out-of the unexpected having-laid-hold-of
οὐ δύνανται τὴν διάνοιαν ἐνταῦθα ἑστάναι, ἀλλὰ καραδοκοῦσι
not are-able the mind there to-stand but they-await
τὰ πρόσω, καὶ ταῖς ἐλπίσιν ἐπίπροσθεν ἀεὶ χωροῦσιν,
the(-things) forward and with-the hopes onward always go
ἕως καὶ τῆς οὐ δέον ὑπαρξάσης αὐτοῖς εὐδαιμονίας
until also of-the not needful having-befallen them prosperity
στερήσονται. βασιλεὺς μέντοι τὴν δέησιν ἐπιτελῆ ἐποίει.
they-will-be-deprived (the)-emperor however the request accomplished made
καὶ τὸν Ἀρταβάνην ἐς Βυζάντιον μετεπέμπετο, ἕτερον 31.7
and — Artabanes to Byzantium summoned another
ἀντικαταστήσας Λιβύης στρατηγόν, ἥπέρ μοι δεδιήγηται.
having-set-in-his-place of-Libya general as by-me has-been-related

31.8 γενόμενον δὲ τὸν Ἀρταβάνην ἐν Βυζαντίῳ ὁ μὲν δῆμος
having-come and — Artabanes in Byzantium the indeed people
τῶν πεπραγμένων ἐθαύμαζε καὶ ἄλλως ἠγάπα.
for-the(-things) done admired(-him) and otherwise loved(-him)

31.9 ἦν γὰρ εὐμήκης τε τὸ σῶμα καὶ καλός, τό τε
he-was for tall both in-the body and handsome in-the both
ἦθος ἐλευθέριος καὶ ὀλίγα ἄττα φθεγγόμενος. βασιλεὺς
character liberal and few certain uttering (the)-emperor
δὲ αὐτὸν ἐν τοῖς μάλιστα ἐτετιμήκει.
and him among the most had-honored

31.10 στρατηγόν τε γὰρ τῶν ἐν Βυζαντίῳ στρατιωτῶν καὶ
general both for of-the in Byzantium soldiers and
ἄρχοντα φοιδεράτων καταστησάμενος ἐς τῶν ὑπάτων
commander of-federates having-appointed(-him) among of-the consuls
ἀνεγράψατο τὸ ἀξίωμα.
enrolled the rank

31.11 τῇ μέντοι Πρεϊέκτᾳ ξυνοικίζεσθαι οὐδαμῇ ἴσχυσεν. ἦν γὰρ
— *however to-Praejecta to-be-married in-no-way he-was-able was for*
αὐτῷ γυνὴ πρότερον ξυγγενής τε οὖσα καὶ ἐκ παιδὸς
to-him (a)-wife before kinswoman both being and from boyhood
αὐτῷ ἐς γάμον ἐλθοῦσα.
to-him into marriage having-come

31.12 ἣν δὴ πολλῷ ἔμπροσθεν ἀποσεισάμενος αὐτὸς ἔτυχε
whom indeed much before having-shaken-off he happened
τῶν τινος ἴσως παραπεπτωκυίας αἰτίας, ὧν δὴ ἕνεκα
of-the some perhaps having-befallen cause of-which indeed for-the-sake
γυναῖκας ἀνδράσι προσκρούειν ξυμβαίνει.
wives with-husbands to-clash it-befalls

31.13 αὕτη, τέως μὲν τῷ Ἀρταβάνῃ οὐκ εὖ καθεστήκει τὰ
she as-long-as indeed — for-Artabanes not well had-been-set the
πράγματα, οἴκοι καθῆστο ἐν πάσῃ ἀπραγμοσύνῃ, τὰ
affairs at-home sat in all inactivity the

παρόντα σιωπῇ φέρουσα· ἐπεὶ δὲ Ἀρταβάνης ἤδη λαμπρός
present(-things) in-silence bearing when and Artabanes already brilliant
τε τοῖς ἔργοις καὶ μέγας ἐγεγόνει ταῖς τύχαις, οὐκ ἐνεγκοῦσα
both in-the deeds and great had-become in-the fortunes not having-borne
ἡ γυνὴ ἔτι τὴν ἀτιμίαν ἐς Βυζάντιον ἦλθεν. ἱκέτις
the wife any-longer the dishonor to Byzantium came suppliant
τε γενομένη τῆς βασιλίδος ἀπολαβεῖν τὸν ἄνδρα ἠξίου.
both having-become of-the empress to-recover the husband asked
ἡ δὲ βασιλὶς (ἐπεφύκει γὰρ ἀεὶ δυστυχούσαις γυναιξὶ 31.14
the and empress she-was-disposed for always to-unfortunate women
προσχωρεῖν) ἀκουσίῳ αὐτὴν τῷ Ἀρταβάνῃ ὡς μάλιστα
to-incline with-unwilling her — Artabanes as most
ξυνοικεῖν ἔγνω, τήν τε Πρεϊέκταν Ἰωάννης ὁ Πομπηίου
to-live-with resolved — both Praejecta John the(-son) of-Pompeius
τοῦ Ὑπατίου γυναῖκα γαμετὴν ἐποιήσατο.
the(-son) of-Hypatius wife wedded made
ταύτην Ἀρταβάνης τὴν ξυμφορὰν οὐκ ἤνεγκε πρᾴως, ἀλλ' 31.15
this Artabanes the calamity not bore mildly but
ἠγριαίνετό τε καὶ ἀγαθὰ εἰργασμένον Ῥωμαίους ἔλεγε τόσα
was-enraged both and goods having-done-for Romans he-said so-great
∗∗∗ γυναῖκα μὲν τήν οἱ αὐτῷ κατηγγυημένην ἑκόντα
(lacuna) (a)-wife indeed the to-him himself betrothed willing
ἑκοῦσαν ἀγαγέσθαι οὐδεὶς ἐᾷ, τῇ δὲ πάντων αὐτῷ
willing to-marry no-one allowed with-the and of-all to-him
δυσμενεστάτῃ οὔσῃ πλησιάζειν ἀναγκάζηται τὸν ἅπαντα
most-hostile being to-cohabit he-is-compelled the whole
χρόνον· ὃ δὴ μάλιστα ἀνθρώπου ψυχὴν ἀνιᾶν πέφυκεν.
time which indeed most of-(a)-man (the)-soul to-grieve is-wont

31.16 ὥστε ἀμέλει οὐ πολλῷ ὕστερον ἐπειδὴ τάχιστα ἡ βασιλὶς
so-that certainly not much later when quickest the empress
ἐξ ἀνθρώπων ἠφάνιστο, ταύτην ἀσμένως ἀπεπέμψατο
from men had-vanished this gladly he-sent-away
τὴν γυναῖκα εὐθύς.
the wife at-once

31.17 ἐτύγχανε δὲ βασιλεῖ τὸν Γερμανὸν ἀνεψιὸν ὄντα
it-happened and for-(the)-emperor — Germanus nephew being
Βοραΐδην ἀδελφὸν ἔχειν. οὗτος οὖν Βοραΐδης ὁ Γερμανοῦ
Boraides (as)-brother to-have this then Boraides the of-Germanus
ἀδελφὸς ἔναγχος ἐτετελευτήκει, τῶν χρημάτων τὰ πλεῖστα
brother lately had-died of-the money the most
τῷ τε ἀδελφῷ καὶ παισὶ τοῖς ἐκείνου ἀπολιπών.
to-the both brother and children the his having-left

31.18 οὔσης δὲ αὐτῷ γυναικός τε καὶ παιδὸς μιᾶς, τοσαῦτα
being and to-him wife both and daughter one so-much
τὴν παῖδα ἐκέλευεν ἔχειν ὅσα ὁ νόμος ἠνάγκαζε.
the daughter he-ordered to-have as-much-as the law compelled
διὸ δὴ βασιλεὺς τῇ παιδὶ μᾶλλον ἀμύνειν ἠξίου.
wherefore indeed (the)-emperor the daughter rather to-defend thought-fit
ὅπερ ἐν τοῖς μάλιστα Γερμανὸν ἔδακνε.
which-very among the most Germanus stung

32.1 Βασιλεῖ μὲν οὖν τά τε ἀμφὶ Ἀρταβάνῃ καὶ
for-(the)-emperor indeed then the(-things) both about Artabanes and
Γερμανῷ ταύτῃ πῃ εἶχεν. ἦν δέ τις Ἀρσάκης
Germanus in-this-way somehow stood there-was and (a)-certain Arsaces
ὄνομα ἐν Βυζαντίῳ, Ἀρμένιος γένος, Ἀρσακίδης ἀνήρ, τῷ
by-name in Byzantium (an)-Armenian by-race (an)-Arsacid man —
Ἀρταβάνῃ κατὰ γένος προσήκων.
to-Artabanes by race related

ὃς δὴ κακουργῶν ἐς τὴν πολιτείαν οὐ πολλῷ 32.2
who indeed doing-harm against the state not much
ἔμπροσθεν ἐφωράθη καὶ προδοσίας διαφανῶς ἑάλω
before was-detected and of-treason clearly was-convicted
ἅτε δὴ ἐς Χοσρόην τὸν Περσῶν βασιλέα πράγματα
as indeed with Chosroes the of-Persians king affairs
ἐπὶ Ῥωμαίοις νεώτερα πράσσων.
against Romans revolutionary dealing
βασιλεύς τε αὐτὸν ἄλλο μὲν εἰργάσατο οὐδὲν ἄχαρι, 32.3
(the)-emperor both him other indeed did nothing unpleasant
ξάνας δὲ οὐ πολλὰς κατὰ νώτου ἐπόμπευσε καμήλῳ
having-flogged and not many(-times) on (the)-back he-paraded(-him) on-(a)-camel
ἀνὰ τὴν πόλιν ὀχούμενον, οὐδὲν μέντοι αὐτὸν οὔτε
throughout the city riding nothing however him neither
τοῦ σώματος οὔτε τῆς οὐσίας ἀφείλετο, οὐ μὴν οὐδὲ
of-the body nor of-the property he-deprived not indeed not-even
φυγῇ ἐζημίωσε.
with-exile he-punished
δυσφορούμενος δὲ ὅμως τοῖς ξυμπεπτωκόσιν 32.4
being-vexed and nevertheless at-the(-things) having-befallen
Ἀρσάκης δολώσεις ἐπί τε Ἰουστινιανῷ καὶ τῇ πολιτείᾳ
Arsaces plots against both Justinian and the state
ἐπινοεῖν ἤρξατο.
to-devise began
ἐπειδή τε ξυναχθόμενόν οἱ τὸν Ἀρταβάνην ἅτε ξυγγενῆ 32.5
when both sharing-the-vexation with-him — Artabanes as kinsman
εἶδεν, ἔτι μᾶλλον ἠρέθιζέ τε καὶ λόγων ἐνέδραις τὸν
he-saw still more he-provoked both and of-words with-ambushes the
ἄνθρωπον καταλαβὼν ἐκάκιζεν, οὔτε νύκτα οὔτε ἡμέραν
man having-caught reviled(-him) neither night nor day

τινὰ ἀνιείς, ἀνδρεῖόν τε καὶ ἀνδρόγυνον ἀπὸ καιροῦ
any letting-up manly both and effeminate out-of season
γεγονότα ὠνείδιζεν.
having-become he-reproached(-him)

32.6 ἐπὶ μὲν γὰρ κακοῖς ἀλλοτρίοις γενναῖόν τε καὶ τῆς
on indeed for evils of-others noble both and of-the
τυραννίδος διαλυτὴν αὐτὸν γεγονέναι, φίλον τε ὄντα καὶ
tyranny dissolver him to-have-been friend both being and
ἑστιάτορα Γόνθαριν αὐτοχειρὶ λαβόντα κτεῖναι οὐδενὶ
host Gontharis with-his-own-hand having-taken to-kill for-no
λόγῳ.
reason

32.7 ἐν δέ γε τῷ παρόντι ἀποδειλιάσαντα οὕτως ἀνάνδρως
in and at-least the present having-turned-coward thus unmanly
ἐνταῦθα καθῆσθαι, τῆς μὲν πατρίδος οἱ φρουρουμένης
there to-sit the indeed fatherland his being-guarded
τε ἐνδελεχέστατα καὶ δασμοῖς ἐκτετηκυίας ἀήθεσι, τοῦ
both most-continuously and by-tributes having-wasted-away unaccustomed the
δὲ πατρὸς ἀνῃρημένου ἐπὶ ξυνθηκῶν τε καὶ ξυμβάσεως
and father having-been-slain on of-treaties both and of-agreement
λόγῳ, παντὸς δὲ τοῦ ξυγγενοῦς δεδουλωμένου τε καὶ
word all and the kindred enslaved both and
σκεδαννυμένου ἀεὶ πανταχόσε τῆς Ῥωμαίων ἀρχῆς.
scattered always everywhere of-the of-Romans empire

32.8 ἀλλὰ τούτων τοιούτων ὄντων αὐτῷ Ἀρταβάνης ἀποχρῆν
but these such being for-him Artabanes to-suffice
οἴεται, εἰ στρατηγός τε Ῥωμαίων εἴη καὶ ὕπατος καλοῖτο
thinks if general both of-Romans he-be and consul be-called
μόνον "Καὶ σὺ μὲν" ἔφη "ξυγγενεῖ τέ μοι ὄντι καὶ
only and you indeed he-said to-kinsman both me being and
πεπονθότι ἀνήκεστα ἔργα οὐδαμῇ συναλγεῖς· ἐγὼ δέ σε
having-suffered irreparable deeds in-no-way sympathize I and you

οἰκτείρω τῆς ἐπ᾽ ἀμφοῖν ταῖν γυναικοῖν, ὦ βέλτιστε,
pity for-the on both the wives O best(-one)
τύχης, ἧς τε οὐ δέον ἐστέρησαι καὶ ᾗ
fortune of-which both not needful you-have-been-deprived and with-which
ξυνοικεῖν ἠναγκάσθης.
to-live you-were-compelled
καίτοι οὐδένα εἰκός, ὅτῳ φρονήματος καὶ κατὰ βραχύ 32.9
and-yet no-one (is)-likely to-whom of-spirit even by little
τινος μέτεστι, τὸν Ἰουστινιανοῦ ἀναδύεσθαι φόνον οὔτε
any share the of-Justinian to-shrink-from murder neither
ὀκνήσει οὔτε ὀρρωδίᾳ τινί, ὃς δὴ κάθηται ἀφύλακτος
by-hesitation nor by-dread any who indeed sits unguarded
ἐς ἀεὶ ἐπὶ λέσχης τινὸς ἀωρὶ νύκτωρ, ὁμοῦ τοῖς τῶν
for ever at chat some untimely by-night together-with the of-the
ἱερέων ἐσχατογέρουσιν ἀνακυκλεῖν τὰ Χριστιανῶν λόγια
priests very-old-men to-turn-over the of-Christians scriptures
σπουδὴν ἔχων.
zeal having
ἀλλὰ γὰρ" ἔφη "οὐδέ τίς σοι ἀντιστήσεται τῶν 32.10
but for he-said not-even any(-one) you will-oppose of-the
Ἰουστινιανοῦ ξυγγενῶν. ὅ μέντοι γε πάντων δυνατώτατος
of-Justinian kinsmen the however at-least of-all most-powerful
Γερμανός, οἶμαι, ξυλλήψεταί σοι προθυμούμενος ξὺν τοῖς
Germanus I-think will-assist you eagerly with the
παισὶ τοῖς αὐτοῦ, νεανίαις τε οὖσι καὶ τῇ τε ἡλικίᾳ
children the his-own young-men both being and in-the both age
καὶ τῷ θυμῷ ἐπ᾽ αὐτὸν ζέουσιν, οὕς γε καὶ τὴν
and in-the passion against him boiling whom at-least also the
πρᾶξιν αὐτοματίσειν ἐλπίδα ἔχω.
deed to-do-of-their-own-accord hope I-have

32.11 ἠδικημένοι γὰρ πρὸς ἐκείνου τυγχάνουσιν ἤδη ὅσα
wronged for by him they-happen already as-much-as
οὔτε ἡμεῖς οὔτε τις ἄλλος Ἀρμενίων οὐδείς.” τοιούτοις
neither we nor any other of-Armenians no-one with-such
Ἀρσάκης ἀεὶ καταγοητεύων τὸν Ἀρταβάνην, ἐπειδή ποτε
Arsaces always bewitching — Artabanes when ever
αὐτὸν ἐνδόντα εἶδεν, ἐπί τινα Περσαρμένιον ἕτερον,
him yielding he-saw to (a)-certain Persarmenian other
Χαναράγγην ὄνομα, τὸ πρᾶγμα ἦγεν.
Chanaranges by-name the matter brought

32.12 ἦν δὲ οὗτος ὁ Χαναράγγης νεανίας μέν, καλὸς δὲ τὸ
was and this — Chanaranges (a)-young-man indeed handsome and in-the
σῶμα, οὐ μέντοι κατεσπουδασμένος, ἀλλ᾽ ἐπὶ πλεῖστον
body not however earnest but to (the)-most
παιδαριώδης.
childish

32.13 Ἐπεὶ οὖν Ἀρσάκης αὐτόν τε καὶ Ἀρταβάνην τά τε
when then Arsaces him both and Artabanes the(-things) both
ἐς τὴν γνώμην καὶ ἐς τοὺς λόγους ξυνέμιξεν, ἀπηλλάσσετο
in the mind and in the words had-joined he-departed
ἐπαγγειλάμενος Γερμανόν τε καὶ τοὺς αὐτοῦ παῖδας
having-promised Germanus both and the his children
ὁμογνώμονας ἐς τὸ ἔργον θήσεσθαι σφίσι.
like-minded for the deed to-make for-them

32.14 καὶ ἦν γὰρ Ἰουστῖνος ὁ πρεσβύτερος τῶν Γερμανοῦ
and there-was for Justinus the elder of-the of-Germanus
παίδων νεανίας μὲν καὶ πρῶτον ὑπηνήτης, δραστήριος
children (a)-young-man indeed and first bearded energetic
δὲ καὶ ἐς τὰς πράξεις ὀξύτερος·
and and in the actions keener

ὥστε καὶ ἐς τῶν ὑπάτων τὸν δίφρον οὐ πολλῷ ἔμπροσθεν 32.15
so-that also to of-the consuls the chair not much before
ἀναβεβήκει. ἀφικόμενός τε παρ᾽ αὐτὸν Ἀρσάκης ἔφασκέν
he-had-ascended having-come both to him Arsaces said
οἱ λάθρα ἐν ἱερῷ τινι ἐντυχεῖν βούλεσθαι.
to-him secretly in sanctuary some to-meet(-him) to-wish
ἐπεί τε ἐν τῷ ναῷ ἐγενέσθην ἄμφω, ἠξίου πρῶτον 32.16
when both in the church they-came both he-asked first
Ἀρσάκης τὸν Ἰουστῖνον δι᾽ ὅρκων ἰσχυρίσασθαι μή
Arsaces — Justinus through oaths to-affirm not
ποτε τοὺς λόγους ἔς τινα τῶν πάντων ἀνθρώπων ὅτι
ever the words to any(-one) of-the all men except
μὴ ἐς τὸν πατέρα μόνον ἐξοίσειν.
— to the father alone to-bring-out
ταῦτά τε ὀμωμοκότι τῷ ἀνδρὶ ὠνείδιζεν εἰ 32.17
these(-things) both having-sworn to-the man he-reproached(-him) that
βασιλεῖ ξυγγενὴς πλησιαίτατος ὢν ἀγοραίους μὲν καὶ
to-(the)-emperor kinsman nearest being low indeed and
ἀγελαίους ἀνθρώπους τινὰς ἔχοντας οὐδὲν αὐτοῖς προσῆκον
vulgar men some having nothing to-them befitting
ὁρῶν τὰς τῆς πολιτείας ἀρχάς, αὐτὸς δὲ τηλίκος ὢν
seeing the of-the state offices himself and of-such-age being
ἤδη ὡς αὐτοῦ εἶναι διοικεῖσθαι τὰ πράγματα, οὐχ
already as of-himself to-be to-manage the affairs not
αὐτὸν μόνον περιορῴη, ἀλλὰ καὶ τὸν πατέρα, καίπερ ἐπ᾽
himself only he-overlooked but also the father although to
ἄκρον ἀρετῆς ἥκοντα, καὶ τὸν ἀδελφὸν Ἰουστινιανὸν
(the)-summit of-valor having-come and the brother Justinian
ἐν ἰδιώτου μοίρᾳ καθημένους τὸν πάντα αἰῶνα.
in of-(a)-private-man lot sitting the whole age

32.18 καὶ οὐδὲ τοῦ θείου τὴν οὐσίαν αὐτὸν εἰσιέναι ξυνέβη,
and not-even of-the uncle the property him to-enter it-befell
ἧς δὴ κληρονόμος τά γε ὅσα βεβουλῆσθαι
of-which indeed heir as-far-as at-least as-much-as to-have-willed
Βοραΐδην αὐτὸς γεγονώς, εἶτα οὐ δέον ἐκ τοῦ ἐπὶ
Boraides he having-become then not needful from the to
πλεῖστον ἀφῄρηται.
(the)-most he-has-been-deprived

32.19 καίτοι πολλῷ ἔτι μᾶλλον αὐτοὺς περιοφθήσεσθαι εἰκὸς
and-yet much still more them to-be-overlooked (it-is)-likely
αὐτίκα δὴ μάλα, ἐπειδὰν τάχιστα Βελισάριος ἐξ Ἰταλίας
at-once indeed very when quickest Belisarius from Italy
ἀφίκηται. ἠγγέλλετο γὰρ ὢν ἐν Ἰλλυριοῖς ἤδη που
arrives was-reported for being among Illyrians already somewhere
μέσοις.
(the)-midst

32.20 τοσαῦτα ὑπειπὼν Ἀρσάκης ἐς τὴν ἐς βασιλέα
so-much having-premised Arsaces to the against (the)-emperor
ἐπιβουλὴν τὸν νεανίαν ὥρμα, τά τέ οἱ αὐτῷ καὶ
plot the young-man urged the(-things) both to-him himself and
Ἀρταβάνῃ ξυγκείμενα καὶ τῷ Χαναράγγῃ ἀμφὶ τὸ ἔργον
to-Artabanes agreed and — to-Chanaranges about the deed
τοῦτο ἀποκαλύψας.
this having-revealed

32.21 ταῦτα Ἰουστῖνος ἀκούσας ξυνεταράχθη τε καὶ
these(-things) Justinus having-heard was-confounded both and
ἰλιγγιάσας ἄντικρυς τῷ Ἀρσάκῃ ἀπεῖπε μήτ' ἄν οἱ
having-become-dizzy openly — to-Arsaces refused neither — for-him
αὐτῷ μήτε Γερμανῷ τῷ πατρὶ ταῦτά ποτε ποιητέα
himself nor for-Germanus the father these(-things) ever to-be-done
εἶναι.
to-be

Καὶ ὁ μὲν Ἀρσάκης τὰ ξυμπεσόντα τῷ Ἀρταβάνῃ 32.22
and — indeed Arsaces the(-things) having-befallen — to-Artabanes
ἀπήγγειλεν, ὁ δὲ Ἰουστῖνος ἐς τὸν πατέρα τὸν πάντα
reported — and Justinus to the father the whole
λόγον ἀνήνεγκε. καὶ ὃς Μαρκέλλῳ κοινολογησάμενος,
account carried and he with-Marcellus having-conferred
ὃς τῶν ἐν Παλατίῳ φυλάκων ἦρχεν, ἀμφὶ τὸ πρᾶγμα
who of-the in (the)-Palatium guards commanded about the matter
ξυμβουλὴν ἐποιεῖτο, εἴπερ σφίσι ταῦτα ἐς βασιλέα
counsel made whether for-them these(-things) to (the)-emperor
ἐξενεγκεῖν ξύμφορον εἴη.
to-bring-out advantageous might-be
ἦν δὲ οὗτος ὁ Μάρκελλος ἐμβριθέστατός τε τὸ ἦθος καὶ 32.23
was and this — Marcellus most-weighty both in-the character and
τῇ σιωπῇ τὰ πολλὰ νέμων, οὔτε χρημάτων τι ἕνεκα
to-the silence the most(-part) allotting neither of-money anything for-the-sake
πράσσων οὔτε λόγων ἢ πράξεων γελωτοποιῶν ἀνεχόμενος
doing nor of-words or of-deeds of-jesters enduring
οὔτε ἄλλως ἀνειμένῃ διαίτῃ χαίρων, ἀλλὰ βίον σκληρόν τέ
nor otherwise in-relaxed way-of-life rejoicing but (a)-life harsh both
τινα καὶ ἡδονῆς ἀλλότριον ἐς ἀεὶ ἔχων, τοῦ μέντοι δικαίου
some and of-pleasure foreign for ever having of-the however just
ἐπιμελητὴς ἀκριβὴς καὶ τοῦ ἀληθοῦς διαπυρώτατος ἐραστής.
(a)-guardian exact and of-the true most-ardent lover
ὃς δὴ τότε οὐκ εἴα τὸν λόγον ἐς βασιλέα φέρεσθαι. “Σὲ 32.24
who indeed then not allowed the account to (the)-emperor to-be-carried you
μὲν γὰρ τούτου” ἔφη “μηνυτὴν γενέσθαι ἀξύμφορον. ἢν
indeed for of-this he-said informer to-become (is)-unprofitable if
γάρ τι λάθρα ἐρεῖν βασιλεῖ βούλοιο, ὑποτοπήσουσί
for anything secretly to-tell to-(the)-emperor you-should-wish will-suspect
τε εὐθὺς οἱ ἀμφὶ Ἀρταβάνην αὐτὸ μεμηνύσθαι,
both at-once the(-men) about Artabanes it to-have-been-informed

καὶ ἤν που Ἀρσάκης διαφυγὼν λαθεῖν δύνηται,
and if somehow Arsaces having-escaped to-escape-notice may-be-able
ἀνεξέλεγκτον τὸ ἔγκλημα μενεῖ.
unproved the charge will-remain
32.25 ἐγὼ δέ τι μὴ λίαν ἀκριβολογησάμενος ἢ πιστεύειν
I and anything not very having-examined-precisely either to-believe
αὐτὸς ἢ βασιλεῖ ἐσαγγέλλειν οὐδαμῇ εἴωθα.
myself or to-(the)-emperor to-report in-no-way am-accustomed
32.26 βούλομαι τοίνυν ἢ τῶν λόγων αὐτήκοος γενέσθαι ἢ
I-wish therefore either of-the words (an)-ear-witness to-become or
τῶν μοι ἐπιτηδείων τινὰ ἐκ παρασκευῆς ὑμετέρας
of-the to-me close(-friends) some(-one) by arrangement your
ἀκοῦσαι τοῦ ἀνθρώπου λέγοντός τι ὑπὲρ τούτων
to-hear the man saying something about these(-things)
διαφανές."
clear
32.27 ταῦτα ὁ Γερμανὸς ἀκούσας Ἰουστῖνον τὸν παῖδα ἐκέλευε
these(-things) — Germanus having-heard Justinus the son ordered
πράσσειν ὅπως ἡ Μαρκέλλου ἐπίταξις ἐπιτελὴς εἴη.
to-act so-that the of-Marcellus injunction accomplished might-be
32.28 ὁ δὲ Ἀρσάκῃ μέν τι ὑπὲρ τούτου εἰπεῖν οὐκέτι εἶχεν,
he and to-Arsaces indeed anything about this to-say no-longer was-able
ἐπεὶ ἄντικρυς αὐτῷ, ὥσπερ μοι ἐρρήθη, ἀπειπὼν ἔτυχε.
since openly to-him as by-me was-said having-refused he-happened
32.29 τοῦ δὲ Χαναράγγου ἀνεπυνθάνετο εἰ Ἀρταβάνου γνώμῃ
— and of-Chanaranges he-inquired if of-Artabanes by-decision
ἔναγχος Ἀρσάκης παρ' αὐτὸν ἥκοι. "Ἐγὼ μὲν γὰρ
lately Arsaces to him had-come I indeed for
οὐκ ἄν ποτε" ἔφη "τῶν τι ἀπορρήτων ἐθάρσησα ἐπ'
not — ever he-said of-the any secrets would-have-dared to
ἐκείνῳ τοιῷδε ὄντι καταλιπεῖν.
that(-man) such being to-leave

ἀλλ᾽ εἴ μοι βούλοιό τι αὐτὸς τῶν προὔργου 32.30
but if to-me you-should-wish anything yourself of-the(-things) to-the-purpose
εἰπεῖν, ἐπὶ κοινῆς βουλευσάμενοι τάχα ἄν τι καὶ
to-say in common having-deliberated perhaps — something also
ἀγαθὸν πράξαιμεν.”
good we-might-do
ὑπὲρ τούτων ὁ Χαναράγγης τῷ Ἀρταβάνῃ 32.31
about these(-things) — Chanaranges — with-Artabanes
κοινολογησάμενος ἅπαντα ἐς τὸν Ἰουστῖνον ἐξήνεγκεν,
having-conferred all(-things) to — Justinus brought-out
ὅσα δὴ πρότερον Ἀρσάκης αὐτῷ εἰπὼν ἔτυχεν.
as-much-as indeed before Arsaces to-him having-said happened
Ἐπεὶ δὲ Ἰουστῖνος αὐτός τε ἅπαντα ἐπιτελέσειν καὶ τὸν 32.32
when and Justinus himself both all(-things) to-accomplish and the
πατέρα ὡμολόγει ὁμογνωμονοῦντα παρέξεσθαι, ἐδόκει
father agreed like-minded to-provide it-seemed(-good)
τῷ Γερμανῷ τὸν Χαναράγγην ἐς λόγους ξυμμῖξαι, τακτή
— to-Germanus — Chanaranges into talks to-join (a)-fixed
τε ἡμέρα τῷ διαλόγῳ ξυνέκειτο.
both day for-the dialogue was-agreed
ταῦτα ὁ Γερμανὸς Μαρκέλλῳ σημήνας ἠξίου τῶν 32.33
these(-things) — Germanus to-Marcellus having-signified asked of-the
τινά οἱ ἐπιτηδείων παρέχεσθαι σφίσιν, αὐτήκοον τῶν
some(-one) to-him close(-friends) to-provide to-them (an)-ear-witness of-the
Χαναράγγου λόγων ἐσόμενον.
of-Chanaranges words going-to-be
ὁ δὲ Λεόντιον παρείχετο, τὸν Ἀθανασίου γαμβρόν, ἄνδρα 32.34
he and Leontius provided the of-Athanasius son-in-law (a)-man
λόγου τε τοῦ δικαίου μεταποιούμενον καὶ ἀληθίζεσθαι
of-account both the just laying-claim-to and to-speak-the-truth
ἐξεπιστάμενον μάλιστα.
knowing-well most

32.35 ὃν δὴ ὁ Γερμανὸς ἐς τὴν οἰκίαν ἐσαγαγὼν ἐν δωματίῳ
whom indeed — Germanus into the house having-brought-in in (a)-chamber
ἐκάθισεν, ἵνα δὴ ἀπεκρέματό τις παχεῖα σινδὼν
seated where indeed hung (a)-certain thick linen
παραπέτασμα τῆς στιβάδος οὖσα, ἐφ᾽ ἧς ἑστιᾶσθαι εἰώθει.
(a)-screen of-the couch being on which to-feast he-was-wont
32.36 ταύτης τε τῆς σινδόνος τὸν μὲν Λεόντιον ἐντὸς ἔκρυψεν,
of-this both the linen — indeed Leontius within he-hid
αὐτὸς δὲ ξὺν Ἰουστίνῳ τῷ παιδὶ ἐκτὸς ἔμενεν.
he and with Justinus the son outside remained
32.37 ἐνταῦθα τοῦ Χαναράγγου ἀφικομένου ἤκουσε σαφῶς ὁ
there — Chanaranges having-arrived heard clearly —
Λεόντιος ἅπαντα λέγοντος, ἅπερ αὐτῷ τε καὶ Ἀρταβάνῃ
Leontius all(-things) saying which-very to-him both and to-Artabanes
καὶ τῷ Ἀρσάκῃ ἐν βουλῇ ἐγεγόνει.
and — to-Arsaces in council had-been
32.38 ἐν οἷς καὶ τόδε ἐς τὸν λόγον ἦλθεν, ὡς, ἢν βασιλέα
among which also this into the account came that if (the)-emperor
κτείνωσι, Βελισαρίου ἔτι ἐς Βυζάντιον ὁδῷ ἰόντος οὐδὲν
they-kill Belisarius still to Byzantium by-road going nothing
ἂν τῶν βεβουλευμένων προχωρήσειε σφίσιν· εἴπερ
— of-the(-things) planned would-go-forward for-them if-indeed
αὐτοῖς μὲν βασιλέα Γερμανὸν καταστήσεσθαι βουλομένοις
to-them indeed (as)-emperor Germanus to-set-up wishing
εἴη, Βελισάριον δὲ πλῆθος στρατιᾶς ἀθροίσειν εἰκὸς ἐκ
it-be Belisarius and (a)-multitude of-army to-gather (is)-likely from
τῶν ἐπὶ Θρᾴκης χωρίων, οὕτω τε σφίσιν ἐπιόντα τὸν
the toward Thrace places thus both them attacking the
ἄνθρωπον οὐδεμιᾷ μηχανῇ ἀπωθεῖσθαι ἱκανοὶ ἔσονται.
man by-no means to-thrust-back able they-will-be

δεήσει γοῦν ἐς μὲν τὴν Βελισαρίου παρουσίαν 32.39
it-will-be-needful at-any-rate to indeed the of-Belisarius presence
ἀποθέσθαι τὴν πρᾶξιν, ἐπειδὰν δὲ ὁ ἀνὴρ τάχιστα ἐς
to-put-off the action when and the man quickest to
Βυζάντιόν τε ἀφίκηται καὶ παρὰ βασιλέα ἐν Παλατίῳ
Byzantium both arrive and with (the)-emperor in (the)-Palatium
εἶη, τότε δή, ἑσπέρας βαθείας που οὔσης, ἐγχειρίδια
be then indeed of-evening late somewhere being daggers
φέροντας ἀπροσδοκήτους ἐνταῦθα γενέσθαι, καὶ Μάρκελλόν
carrying unexpected there to-come and Marcellus
τε καὶ Βελισάριον ξὺν βασιλεῖ κτεῖναι.
both and Belisarius with (the)-emperor to-kill
οὕτω γὰρ τὸ ἐνθένδε ἀδεέστερον ᾗ βούλονται διοικήσονται. 32.40
thus for the from-there more-fearlessly as they-wish they-will-manage
ταῦτα Μάρκελλος πρὸς Λεοντίου μαθὼν οὐδ' ὡς
these(-things) Marcellus from Leontius having-learned not-even so
ἐς βασιλέα τὸν λόγον ἀνενεγκεῖν ἔγνω, ἀλλ' ἔτι ὀκνήσει
to (the)-emperor the account to-carry resolved but still by-hesitation
πολλῇ εἴχετο, τοῦ μὴ τὸν Ἀρταβάνην σπουδῇ πολλῇ
great was-held of-the not — Artabanes with-zeal much
κατεργάσασθαι ἀπερισκέπτως.
to-ruin without-consideration
ὁ μέντοι Γερμανὸς ἅπαντα ἔς τε Βούζην καὶ Κωνσταντιανὸν 32.41
— however Germanus all(-things) to both Buzes and Constantianus
ἐξήνεγκε, δείσας, ὅπερ ἐγένετο, μή τινα ἐκ τῆς
brought-out having-feared which-very happened lest some from the
μελλήσεως ὑποψίαν λάβῃ.
delay suspicion he-get
Ἡμέραις δὲ πολλαῖς ὕστερον, ἐπειδὴ παρὼν Βελισάριος 32.42
on-days and many later when present Belisarius
ἄγχιστά που ἤδη ἠγγέλλετο, Μάρκελλος μὲν ἐς
nearest somewhere already was-reported Marcellus indeed to

βασιλέα τὸν πάντα λόγον ἀνήνεγκεν, ὁ δὲ αὐτίκα ἐς
(the)-emperor the whole account carried he and at-once to
τὴν εἱρκτὴν ἀπαχθῆναι τοὺς ἀμφὶ Ἀρταβάνην ἐκέλευε,
the prison to-be-led-away the(-men) about Artabanes ordered
τῶν τε ἀρχόντων τισὶ τὴν ἐπ᾽ αὐτοῖς ἐπέτρεπε βάσανον.
of-the both magistrates to-some the on them entrusted torture
32.43 ἐπεὶ δὲ ἡ ἐπιβουλὴ ξύμπασα ἐς φῶς τε ἤδη ἐληλύθει
when and the plot whole into light both already had-come
καὶ διαρρήδην ἐν γράμμασιν ἦν, ἅπαντας βασιλεὺς τοὺς
and expressly in writings was all (the)-emperor the(-men)
ἐκ τῆς συγκλήτου βουλῆς ἐν Παλατίῳ ἐκάθισεν, οὗπερ
from the senatorial council in (the)-Palatium seated where-very
εἰώθασι τὰς ἀμφὶ τοῖς ἀντιλεγομένοις ποιεῖσθαι γνώσεις.
they-are-accustomed the about the disputed(-things) to-make judgments
32.44 οἵπερ ἀναλεξάμενοι ἅπαντα, ὅσα τοῖς εὐθυνομένοις
who-very having-read all(-things) as-much-as by-the(-ones) called-to-account
δεδιηγῆσθαι τετύχηκεν, οὐδέν τι ἧσσον ἐς Γερμανόν
to-have-been-related it-happened nothing at-all less against Germanus
τε καὶ Ἰουστῖνον τὸν αὐτοῦ παῖδα τὸ ἔγκλημα ἦγον, ἕως
both and Justinus the his son the charge brought until
ὁ Γερμανὸς Μαρκέλλου τε καὶ Λεοντίου τὴν μαρτυρίαν
— Germanus of-Marcellus both and of-Leontius the testimony
παρασχόμενος ἐκλύειν τὴν ὑποψίαν ἔσχεν.
having-provided to-dispel the suspicion was-able
32.45 αὐτοί τε γὰρ καὶ Κωνσταντιανὸς καὶ Βούζης διώμοτοι
they-themselves both for and Constantianus and Buzes on-oath
ἰσχυρίσαντο μηδ᾽ ὁτιοῦν σφᾶς τούτων δὴ ἕνεκα τὸν
affirmed not-even anything them of-these indeed for-the-sake —
Γερμανὸν ἀποκρύψασθαι, ἀλλὰ ταύτῃ πάντα ξυνενεχθῆναι
Germanus to-have-hidden but in-this-way all(-things) to-have-happened
ἥπέρ μοι ἔναγχος δεδιήγηται.
as by-me lately has-been-related

οἱ μὲν οὖν ἐκ τῆς συγκλήτου εὐθὺς αὐτοῦ τε καὶ 32.46
the(-men) indeed then from the senate at-once of-him both and
τοῦ παιδὸς ἀπεψηφίσαντο ἅπαντες ἅτε οὐδὲν εἰς τὴν
of-the son acquitted all as nothing against the
πολιτείαν ἡμαρτηκότων.
state having-sinned
ἐπεὶ δὲ εἴσω πάντες ἐν βασιλέως ἐγένοντο, αὐτὸς μὲν 32.47
when and inside all in of-(the)-emperor came he indeed
ὀξὺ θυμωθεὶς βασιλεὺς ἠγανάκτει τε καὶ ὑπερφυῶς ἐπὶ
sharply enraged (the)-emperor was-indignant both and extraordinarily against
τὸν Γερμανὸν ἠγριαίνετο τὴν βραδυτῆτα τῆς δηλώσεως
— Germanus raged the slowness of-the disclosure
αἰτιώμενος, τῶν τε ἀρχόντων δύο μέν τινες θεραπεύοντες
blaming of-the both magistrates two indeed some flattering
αὐτὸν ὡμολόγουν τὴν γνώμην, καὶ ξὺν αὐτῷ δυσφορουμένοις
him agreed-with the opinion and with him being-vexed
ἐῴκεσαν· ταύτῃ τε τὸν βασιλέως θυμὸν ἐπὶ μέγα ἐξῆρον,
seemed in-this-way both the of-(the)-emperor wrath to great raised
ἀλλοτρίας αὐτῷ χαριεῖσθαι συμφορὰς ἐν σπουδῇ ἔχοντες.
others' to-him to-gratify calamities in zeal having
οἱ δὲ ἄλλοι κατεπτηχότες σιωπῇ εἶχοντο, τῷ μὴ 32.48
the and others having-cowered in-silence kept by-the not
ἀντιστατεῖν ἃ βούλοιτο ἐγχωροῦντες αὐτῷ· Μάρκελλος
to-oppose what he-might-wish yielding to-him Marcellus
δὲ μόνος ὀρθοστομήσας διασώσασθαι τὸν ἄνθρωπον
and alone having-spoken-straight to-save the man
ἴσχυσε.
was-able
τὴν γὰρ αἰτίαν ἐφ' ἑαυτὸν ἕλκων τε καὶ βιαζόμενος 32.49
the for blame upon himself drawing both and forcing
δυνάμει τῇ πάσῃ Γερμανὸν μὲν οἱ ἐπικαιρότατα
with-power the all Germanus indeed to-him most-timely

ἔφη τὰ πρασσόμενα ἐξειπεῖν, αὐτὸν δὲ περιέργως
said the(-things) being-done to-have-disclosed himself and meddlesomely
ἀκριβολογούμενον σχολαιότερον αὐτὰ μεμηνυκέναι.
examining-precisely more-slowly them to-have-informed
32.50 καὶ τὴν βασιλέως ὀργὴν οὕτω κατέπαυσε. μέγα τε
and the of-(the)-emperor anger thus he-stopped great both
ἀπ᾽ αὐτοῦ κλέος οὗτος ὁ Μάρκελλος περιεβάλετο ἐς
from it fame this — Marcellus acquired among
πάντας ἀνθρώπους ἅτε ἀρετῆς ἐν τοῖς ἀναγκαιοτάτοις
all men as of-virtue in the most-necessary(-things)
μεταποιούμενος.
laying-claim
32.51 βασιλεὺς δὲ Ἰουστινιανὸς παρέλυσε τὸν Ἀρταβάνην ἧς
(the)-emperor and Justinian released — Artabanes from-what
εἶχεν ἀρχῆς, ἄλλο δὲ αὐτὸν εἰργάσατο οὐδὲν ἄχαρι,
he-held office other and him he-did nothing unpleasant
οὐ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα, πλήν γε δὴ ὅτι
not indeed not-even of-the others no-one except at-least indeed that
ἅπαντας οὐ ξὺν ἀτιμίᾳ ἐν φυλακῇ ἔσχεν, ἐν Παλατίῳ
all not with dishonor in custody he-held in (the)-Palatium
μέντοι, οὐκ ἐν τῷ δημοσίῳ οἰκήματι.
however not in the public building

The Franks hold Gaul and strike gold coins with their own image; the Gepids hold Sirmium, the Langobards Pannonia, the Eruli Singidunum. Langobard and Gepid envoys plead before Justinian, who sends an army to the Langobards, but the two make peace. Belisarius returns to Byzantium, where a wine omen had foretold his good fortune; Indulf deserts to Totila and raids Dalmatia.

Ὑπὸ δὲ τὸν χρόνον τοῦ πολέμου τόνδε κύριοι τῆς 33.1
about and the time of-the war this masters of-the
ἑσπερίας οἱ βάρβαροι διαρρήδην ἐγένοντο πάσης. τοῖς
west the barbarians expressly became all to-the
τε Ῥωμαίοις ὁ Γοτθικὸς πόλεμος, καίπερ τὰ πρῶτα
both Romans the Gothic war although the first
κατὰ κράτος νενικηκόσιν, ὥσπερ μοι ἔμπροσθεν εἴρηται,
by force having-conquered as by-me before has-been-said
ἐς τοῦτο ἀπεκρίθη, ὥστε οὐχ ὅσον σφίσι χρήματα
to this turned-out so-that not only for-them money
καὶ σώματα ἐπ᾽ οὐδεμιᾷ ὀνήσει διεφθάρθαι πολλά,
and bodies on no profit to-have-been-destroyed many
ἀλλὰ καὶ Ἰταλίαν προσαπολέσθαι, καὶ Ἰλλυριούς τε
but also Italy to-have-been-lost-besides and Illyrians both
καὶ Θρᾳκας σχεδόν τι ξύμπαντας ἐπιδεῖν πρὸς τῶν
and Thracians nearly somewhat all to-see-besides by the
βαρβάρων ἅτε ὁμόρων γεγενημένων δηιουμένους τε καὶ
barbarians as neighbors having-become ravaged both and
διαφθειρομένους οὐδενὶ κόσμῳ. ἐγένετο δὲ ὧδε.
destroyed in-no order it-happened and thus
Γαλλίας μὲν ὅλας τὰς σφίσι κατηκόους κατ᾽ ἀρχὰς 33.2
Gauls indeed whole the to-them subject at (the)-beginnings
τοῦδε τοῦ πολέμου Γερμανοῖς ἔδοσαν Γότθοι, οὐκ ἂν
of-this the war to-Germans gave Goths not —

οἰόμενοι πρὸς ἑκατέρους ἀντιτάξασθαι οἷοί τε εἶναι, ὥσπερ
thinking against both to-stand able — to-be as
μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.
by-me in the earlier accounts was-said

33.3 ταύτην τε τὴν πρᾶξιν οὐχ ὅπως οὐ διακωλύειν Ῥωμαῖοι
this both the action not only not to-prevent Romans
ἔσχον, ἀλλὰ καὶ βασιλεὺς Ἰουστινιανὸς ἐπέρρωσε σφίσι,
were-able but also (the)-emperor Justinian confirmed(-it) for-them
τοῦ μή τί οἱ ἐναντίωμα τούτων δὴ τῶν βαρβάρων
for-the not some to-him opposition these indeed the barbarians
ἐκπεπολεμωμένων ὑπαντιάσαι.
having-been-made-hostile to-meet

33.4 οὐ γάρ ποτε ᾤοντο Γαλλίας ξὺν τῷ ἀσφαλεῖ κεκτῆσθαι
not for ever thought Gauls with the safety to-have-acquired
Φράγγοι, μὴ τοῦ αὐτοκράτορος τὸ ἔργον ἐπισφραγίσαντος
Franks not the autocrat the deed having-sealed
τοῦτό γε, καὶ ἀπ᾽ αὐτοῦ οἱ Γερμανῶν ἄρχοντες Μασαλίαν
this at-least and from it the of-Germans rulers Massalia
τε τὴν Φωκαέων ἀποικίαν καὶ ξύμπαντα τὰ ἐπιθαλάσσια
both the of-Phocaeans colony and all the seaside
χωρία ἔσχον, θαλάσσης τε τῆς ἐκείνῃ ἐκράτησαν.
places held of-sea both the there took-control

33.5 καὶ κάθηνται μὲν ἐν τῇ Ἀρελάτῳ τὸν ἱππικὸν ἀγῶνα
and they-sit indeed in — Arelate the horse race
θεώμενοι, νόμισμα δὲ χρυσοῦν ἐκ τῶν ἐν Γάλλοις
watching coin and golden from the in Gauls
μετάλλων πεποίηνται, οὐ τοῦ Ῥωμαίων αὐτοκράτορος,
mines they-have-made not the of-Romans autocrat's
ᾗπερ εἴθισται, χαρακτῆρα ἐνθέμενοι τῷ στατῆρι τούτῳ,
as-very is-customary image having-put on-the stater this
ἀλλὰ τὴν σφετέραν αὐτῶν εἰκόνα.
but the their-own of-them likeness

καίτοι νόμισμα μὲν ἀργυροῦν ὁ Περσῶν βασιλεὺς ᾗ 33.6
and-yet coin indeed silver the of-Persians king as
βούλοιτο ποιεῖν εἴωθε, χαρακτῆρα δὲ ἴδιον ἐμβαλέσθαι
he-may-wish to-make is-wont image and his-own to-put
στατῆρι χρυσῷ οὔτε αὐτὸν θέμις οὔτε δὲ ἄλλον ὁντιναοῦν
on-(a)-stater golden neither him (is)-lawful nor and other any-whatever
βασιλέα τῶν πάντων βαρβάρων, καὶ ταῦτα μᾶλλον ὄντα
king of-the all barbarians and this rather being
χρυσοῦ κύριον, ἐπεὶ οὐδὲ τοῖς ξυμβάλλουσι προΐεσθαι
of-gold master since not-even to-the(-ones) dealing to-offer
τὸ νόμισμα τοῦτο οἷοί τέ εἰσιν, εἰ καὶ βαρβάρους τοὺς
the coin this able — are if even barbarians the(-ones)
ξυμβάλλοντας εἶναι ξυμβαίνει. ταῦτα μὲν οὖν τῇδε
dealing to-be it-befalls these(-things) indeed then in-this-way
Φράγγοις ἐχώρησεν.
for-Franks went
Ἐπεὶ δὲ τὰ Γότθων τε καὶ Τουτίλα καθυπέρτερα 33.7
when and the(-affairs) of-Goths both and of-Totila superior
τῷ πολέμῳ ἐγένετο, Φράγγοι Βενετίων τὰ πλεῖστα
in-the war became Franks of-Venetia the most
σφίσι προσεποιήσαντο οὐδενὶ λόγῳ, οὔτε Ῥωμαίων
for-themselves took-over by-no reason neither Romans
δυναμένων ἔτι ἀμύνεσθαι οὔτε Γότθων οἵων τε ὄντων τὸν
being-able still to-defend(-it) nor Goths able — being the
πόλεμον πρὸς ἑκατέρους διενεγκεῖν.
war against both to-carry-on
Γήπαιδες δὲ πόλιν τε Σίρμιον καὶ Δακίας ἐκ τοῦ 33.8
Gepids and (the)-city both Sirmium and Dacias from the
ἐπὶ πλεῖστον ἁπάσας καταλαβόντες ἔσχον, ἐπειδὴ
to (the)-most all having-seized held when
τάχιστα βασιλεὺς αὐτὰς Ἰουστινιανὸς ἀφείλετο Γότθους·
quickest (the)-emperor them Justinian took-from Goths

ἐξηνδραπόδισάν τε τοὺς ταύτῃ Ῥωμαίους, ἔτι μέντοι
enslaved both the there Romans further however
ἐπίπροσθεν ἀεὶ ὁδῷ ἰόντες ἐληΐζοντο βιαζόμενοι τὴν
forward always by-road going plundered forcing the
Ῥωμαίων ἀρχήν.
of-Romans empire

33.9 διὸ δὴ βασιλεὺς αὐτοῖς τὰς συντάξεις οὐκέτι
wherefore indeed (the)-emperor to-them the subsidies no-longer
ἐδίδου, ἅσπερ εἴθιστο σφᾶς ἀνέκαθεν πρὸς Ῥωμαίων
gave which-very it-was-customary them from-of-old from Romans
κομίζεσθαι.
to-receive

33.10 Λαγγοβάρδας δὲ βασιλεὺς Ἰουστινιανὸς ἐδωρήσατο
Langobards and (the)-emperor Justinian presented
Νωρικῶν τε πόλει καὶ τοῖς ἐπὶ Παννονίας ὀχυρώμασί
of-Norici both with-(the)-city and with-the in Pannonia strongholds
τε καὶ ἄλλοις χωρίοις πολλοῖς καὶ χρήμασι μεγάλοις
both and other places many and money great
ἄγαν.
very

33.11 διά τοι τοῦτο ἐξ ἠθῶν τῶν πατρίων Λαγγοβάρδαι
because-of indeed this from haunts the ancestral Langobards
ἐξαναστάντες ἐνθένδε ποταμοῦ Ἴστρου ἱδρύσαντο, Γηπαίδων
having-risen-up on-this-side (the)-river Ister settled Gepids
οὐ πολλῷ ἄποθεν.
not much away-from

33.12 καὶ αὐτοὶ μὲν Δαλμάτας τε καὶ Ἰλλυριοὺς μέχρι
and they-themselves indeed Dalmatians both and Illyrians as-far-as
τῶν Ἐπιδάμνου ὁρίων ληϊσάμενοι ἠνδραπόδισαν, ἐπειδή
the of-Epidamnus bounds having-plundered enslaved when
τε τῶν τινες αἰχμαλώτων ἐνθένδε φυγόντες οἴκαδε
both of-the some captives from-there having-fled home

ἀποκομίζεσθαι ἴσχυσαν, περιιόντες τὴν Ῥωμαίων ἀρχὴν
to-get-away were-able going-around the of-Romans empire
οἱ βάρβαροι οὗτοι ἅτε Ῥωμαίοις ἔνσπονδοι ὄντες ἦν
the barbarians these as with-Romans treaty-partners being if
τινας τῶν ἀποδράντων ἐπιγνοῖεν ἐνταῦθα, ὥσπερ
any of-the(-ones) having-run-away they-should-recognize there as
ἀνδραπόδων οἰκείων δεδραπετευκότων ἐπελαμβάνοντο,
of-slaves own having-run-away they-seized
τῶν τε γειναμένων ἀφέλκοντες ἐς τὰ οἰκεῖα ξὺν
from-the both parents dragging(-them) to the own(-homes) with
αὐτοῖς ἐκομίζοντο, οὐδενὸς σφίσιν ἀντιστατοῦντος.
themselves they-carried no-one them opposing
καὶ ἄλλα μέντοι Δακίας χωρία δόντος βασιλέως Ἔρουλοι 33.13
and other however of-Dacia places having-given (the)-emperor Eruli
ἔσχον ἀμφὶ πόλιν Σιγγιδόνον, οὗ δὴ ἵδρυνται νῦν,
held about (the)-city Singidunum where indeed they-are-settled now
Ἰλλυριούς τε καὶ τὰ ἐπὶ Θρᾴκης χωρία καταθέοντες
Illyrians both and the toward Thrace places overrunning
καὶ λῃζόμενοι ἐκ τοῦ ἐπὶ πλεῖστον. τινὲς δὲ αὐτῶν καὶ
and plundering from the to (the)-most some and of-them also
Ῥωμαίων στρατιῶται γεγένηνται ἐν τοῖς φοιδεράτοις
of-Romans soldiers have-become among the federates
καλουμένοις ταττόμενοι.
called ranged
ἡνίκα οὖν Ἐρούλων ἐς Βυζάντιον πρέσβεις σταλεῖεν, τούτων 33.14
whenever then of-Eruli to Byzantium envoys are-sent of-these
δὴ τῶν ἀνδρῶν, οἳ τοὺς Ῥωμαίων κατηκόους λῃΐζονται,
indeed the men who the of-Romans subjects plunder
τὰς συντάξεις ἁπάσας πρὸς βασιλέως κεκομισμένοι πόνῳ
the subsidies all from (the)-emperor having-received with-toil
οὐδενὶ ἀπαλλάσσονται.
no they-depart

34.1 Οὕτω μὲν οἱ βάρβαροι διεδάσαντο τὴν Ῥωμαίων ἀρχήν.
thus indeed the barbarians divided the of-Romans empire
χρόνῳ δὲ ὕστερον Γήπαιδές τε καὶ Λαγγοβάρδαι ἅτε
in-time and later Gepids both and Langobards as
δὴ ἐν γειτόνων πη ᾠκημένοι ἀλλήλοις διάφοροι
indeed in neighborhood somewhere dwelling with-one-another at-odds
γεγένηνται ἐς τὰ μάλιστα.
have-become in the most

34.2 πολεμησείοντές τε προθυμίᾳ τῇ πάσῃ ἐς ἀλλήλους
eager-for-war both with-eagerness the all against one-another
ἑκάτεροι ὥργων τοῖς πολεμίοις διὰ μάχης ἰέναι, χρόνος
each were-eager with-the enemies through battle to-go (a)-time
τε τῇ ξυμβολῇ τακτὸς ὥριστο.
both for-the engagement fixed had-been-set

34.3 Λαγγοβάρδαι δὲ οὐκ ἂν οἰόμενοι Γήπαισιν ἀξιόμαχοι κατὰ
Langobards and not — thinking for-Gepids a-match by
μόνας αὐτοὶ ἔσεσθαι (πλήθει γὰρ αὐτοὺς ἐλασσοῦσθαι
alone themselves to-be in-number for them to-be-inferior
τῶν πολεμίων ξυνέβαινε) Ῥωμαίους ἔγνωσαν ἐς ξυμμαχίαν
to-the enemies it-happened Romans resolved into alliance
ἐπαγαγέσθαι.
to-bring-in

34.4 πέμψαντες οὖν παρὰ βασιλέα Ἰουστινιανὸν πρέσβεις
having-sent then to (the)-emperor Justinian envoys
στράτευμα σφίσιν ἐδέοντο πέμψαι. ὅπερ ἐπεὶ Γήπαιδες
army to-them they-begged to-send which-very when Gepids
ἔγνωσαν, πέμπουσι καὶ αὐτοὶ ἐς Βυζάντιον πρέσβεις
learned send also they-themselves to Byzantium envoys
ὑπὲρ τῶν αὐτῶν δεησομένους. ἦρχε δὲ τότε Γηπαίδων
about the same(-things) going-to-beg ruled and then of-Gepids
μὲν Θορισὶν ὄνομα, τῶν δὲ ἑτέρων Αὐδουίν.
indeed Thorisin by-name of-the and others Audoin

βασιλεὺς δὲ Ἰουστινιανὸς λόγους μὲν τοὺς πρὸς ἀμφοτέρων 34.5
(the)-emperor and Justinian words indeed the from both
ἀκούειν ἔγνω, οὐχ ἅμα μέντοι ξυνιόντων, ἀλλὰ καὶ χωρὶς
to-hear resolved not together however meeting but also separately
παρ᾽ αὐτὸν γινομένων.
to him coming
ἐν τοῖς πρῶτοι οὖν Λαγγοβάρδαι βασιλεῖ ἐς 34.6
among the first then Langobards to-(the)-emperor into
ὄψιν ἐλθόντες ἔλεξαν τοιάδε “Ἡμῖν μέν, ὦ βασιλεῦ,
sight having-come said such(-things) to-us indeed O emperor
καταπεπλῆχθαι τῇ Γηπαίδων ἀτοπίᾳ ξυμβαίνει, οἵ
to-have-been-amazed at-the of-Gepids outrageousness it-befalls who
γε τοσαῦτά τε τὸ πλῆθος καὶ τοιαῦτα τὸ μέγεθος
at-least so-many both in-the number and such in-the greatness
ἐς τὴν ὑμετέραν παρανενομηκότες ἀρχὴν νῦν καὶ τὴν
against the your having-transgressed empire now also the
μεγίστην τῶν ὕβρεων ὑμῖν κομιοῦντες ἐφ᾽ ὑμᾶς ἥκουσιν.
greatest of-the insults to-you going-to-bring to you have-come
οὗτοι γὰρ ἂν μόνοι τὰ ἔσχατα ἐς τοὺς πέλας ὑβρίζοιεν, 34.7
these for — alone the uttermost toward the neighbors would-insult
οἳ λίαν αὐτοὺς εὐπετεῖς εἰς τὸ ἐξαπατᾶσθαι οἰόμενοι τῆς
who very them easy for the to-be-deceived thinking of-the
τῶν ἠδικημένων ἀπολαύσοντες εὐηθείας παρ᾽ αὐτοὺς
of-the(-ones) wronged going-to-profit-by simplicity to them
ἥκοιεν.
should-come
ὑμᾶς δὲ διασκοπεῖσθαι τοσοῦτον αἰτοῦμεν, ὅπη ποτὲ 34.8
you and to-consider so-much we-ask where ever
γνώμης τὰ ἐς φιλίαν Γήπαισιν ἔχει. οὕτω γὰρ ἂν
of-mind the(-things) toward friendship for-Gepids stand thus for —
τὰ ξυνοίσοντα ὡς ἀσφαλέστατα ἐξεργάσαισθε
the(-things) going-to-be-advantageous as most-safely you-might-accomplish

τῇ Ῥωμαίων ἀρχῇ, ἐπεὶ τοῖς ἀεὶ προγεγενημένοις
for-the of-Romans empire since by-the(-things) always having-been-before
τεκμηριοῦσθαι τὰ ἐσόμενα ξὺν τῷ ἀσφαλεῖ δύνανται
to-conjecture the(-things) to-be with the safety are-able
ἄνθρωποι.
men

34.9 εἰ μὲν οὖν ἐς ἑτέρους τινὰς τὴν ἀγνωμοσύνην ἐπιδεδεῖχθαι
if indeed then toward others some the ingratitude to-have-been-shown
μόνον τὸ Γηπαίδων ἔθνος ξυνέβαινε, πολλοῦ λόγου τε ἂν
only the of-Gepids nation happened of-much account both —
ἡμῖν καὶ χρόνου καὶ τῆς ἔξωθεν μαρτυρίας ἐδέησε,
for-us and of-time and of-the outside testimony there-would-have-been-need
διελέγχειν ἐφιεμένοις τὸν τῶν ἀνδρῶν τρόπον· νῦν δὲ τὸ
to-expose desiring the of-the men character now and the
παράδειγμα ἐγγύθεν παρ᾽ ὑμῶν αὐτῶν λαβεῖν πάρεστι.
example from-near from you yourselves to-take it-is-possible

34.10 σκέψασθε γάρ· Γότθοι μὲν τὴν Δακῶν χώραν ἐς
consider for Goths indeed the of-Dacians land for
φόρου ἀπαγωγὴν τὰ πρότερα εἶχον, Γήπαιδες δὲ τοῦ
of-tribute payment the former(-times) held Gepids and of-the
Ἴστρου ἐπὶ θάτερα τὸ ἐξ ἀρχῆς ᾤκηντο ἅπαντες,
Ister on the-other(-side) the from (the)-beginning dwelt all
Γότθων μὲν οὕτω κατεπτηχότες τὴν δύναμιν ὥστε τὸν
of-Goths indeed thus having-cowered-before the power so-that the
ποταμὸν διαπορθμεύεσθαι οὐδὲ ὅσον ἀποπειράσασθαι
river to-cross not-even as-much-as to-attempt
πώποτε ἴσχυσαν, ἔνσπονδοι δὲ καὶ φίλοι Ῥωμαίοις τὰ
ever they-were-able treaty-partners and and friends to-Romans the
μάλιστα ὄντες καὶ δῶρα πολλὰ τῷ τῆς φιλίας ὀνόματι
most being and gifts many in-the of-the friendship name

κομιζόμενοι ἀνὰ πᾶν ἔτος πρός τε τῶν ἔμπροσθεν
receiving throughout every year from both the(-ones) before
βεβασιλευκότων, καὶ παρὰ σοῦ μέντοι οὐδέν τι ἧσσον.
having-reigned and from you however nothing at-all less
ἡδέως ἂν οὖν πυθοίμεθα τούτων δὴ τῶν ἀνδρῶν 34.11
gladly — then we-would-learn of-these indeed the men
τί ποτε ὑπὲρ τούτων αὐτοῖς ἐς Ῥωμαίους ἀγαθὸν
what ever for these(-things) by-them toward Romans good
εἴργασται. ἀλλ᾽ οὐκ ἂν ἔχοιεν οὐ μικρὸν ἢ μέγα εἰπεῖν.
has-been-done but not — they-could not small or great to-say
ἕως μὲν οὖν οὐκ εἶχον ἐφ᾽ ὅτῳ ἂν ὑμᾶς ἀδικοῖεν, 34.12
as-long-as indeed then not they-had on what — you they-might-wrong
οὐ γνώμῃ τινί, ἀλλ᾽ ἀπορίᾳ ἠναγκασμένοι ἡσυχῇ ἔμενον.
not by-mind any but by-want compelled quietly they-remained
τοῦ μὲν γὰρ Ἴστρου ἐπέκεινα προσποιεῖσθαι ὑμεῖς οὐδὲν 34.13
of-the indeed for Ister beyond to-take-over you nothing
ἠξιοῦτε, τὸ δὲ ἐνθένδε τὸ ἐκ Γότθων αὐτοὺς ἀνεσόβει
thought-fit the and on-this-side the from Goths them scared-away
δέος.
fear
τίς δ᾽ ἂν εὐγνωμοσύνην ποτὲ τὴν ἀδυναμίαν καλοίη; ποία 34.14
who and — gratitude ever the inability would-call what-sort
δὲ φιλίας βεβαίωσις ἐν τῇ τοῦ ἐξαμαρτάνειν ἀμηχανίᾳ
and of-friendship confirmation in the of-the to-sin helplessness
γενήσεται; οὐκ ἔστιν, ὦ βασιλεῦ, ταῦτα, οὐκ ἔστι.
will-arise not is O emperor these(-things) not is
δύναμις γὰρ ἀνθρώπου φύσιν ἐνδείκνυται μόνη, ἐξάγουσα
power for of-(a)-man (the)-nature displays alone bringing-out
πᾶσιν ἐν δημοσίῳ τῇ τοῦ δρᾶν ἐξουσίᾳ τὸν τρόπον.
to-all in public by-the of-the to-act license the character

34.15 ἰδοὺ γάρ, ἐπειδὴ τάχιστα Γήπαιδες εἶδον Γότθους μὲν
behold for when quickest Gepids saw Goths indeed
ἐκ Δακίας ἀπεληλαμένους ἁπάσης, ὑμᾶς δὲ ἀσχολίᾳ
from Dacia driven-out all you and by-preoccupation
τῇ πρὸς τοὺς πολεμίους ἐχομένους, πανταχόθι τῆς γῆς
the with the enemies held everywhere of-the land
ἐπιβατεῦσαι τῆς ὑμετέρας οἱ μιαρώτατοι τετολμήκασι.
to-encroach-on the your the most-abominable(-men) have-dared
34.16 πῶς ἄν τις ἐφικέσθαι δύναιτο λόγῳ τῆς τοῦ πράγματος
how — anyone to-reach could by-word of-the of-the thing
ἀτοπίας; οὐ κατεφρόνησαν τῆς Ῥωμαίων ἀρχῆς; οὐκ
outrageousness not did-they-despise the of-Romans empire not
ἔλυσαν σπονδῶν τε καὶ συμμάχων θεσμούς;
did-they-loose of-treaties both and of-allies (the)-ordinances
34.17 οὐχ ὕβρισαν εἰς οὓς ἥκιστα ἐχρῆν; οὐκ ἐβιάσαντο
not did-they-insult against whom least it-was-right not did-they-violate
βασιλείαν, ἧς δοῦλοι ἂν εὔξαιντο εἶναι, ἤν τις
(an)-empire of-which slaves — they-would-pray to-be if any
σχολὴ ὑμῖν ἐπ᾽ αὐτοῖς γένηται; Γήπαιδες, ὦ βασιλεῦ,
leisure to-you against them should-come Gepids O emperor
Σίρμιον ἔχουσι καὶ Ῥωμαίους ἀνδραποδίζουσιν, ὅλην τε
Sirmium hold and Romans enslave whole both
προσποιεῖσθαι Δακίαν αὐχοῦσι.
to-take-over Dacia they-boast
34.18 τίνα πόλεμον ὑπὲρ ὑμῶν ποτε ἢ ξὺν ὑμῖν ἢ πρὸς
what war for you ever either with you or against
ὑμᾶς αὐτοὺς νενικηκότες; ἢ τίνος ἀγωνίας ἆθλα τὴν
you yourselves having-won or of-what contest (as)-prizes the
χώραν ταύτην πεποιημένοι; καὶ ταῦτα ἔμμισθοι πρὸς ὑμῶν
land this having-made and this mercenaries by you

γεγονότες πολλάκις καὶ τὰ χρήματα, ὥσπερ εἴρηται,
having-become often and the money as has-been-said
κεκομισμένοι χρόνον οὐκ ἴσμεν ὁπόσον ἄνω.
having-received (a)-time not we-know how-much back
καίτοι τῆς παρούσης αὐτῶν πρεσβείας οὐ γέγονε 34.19
and-yet than-the present their embassy not has-come-about
πρᾶξις μιαρωτέρα ἐκ τοῦ παντὸς χρόνου. ἐπειδὴ γὰρ
(a)-deed more-abominable from the whole time when for
ἡμᾶς πολεμησείοντας ἐπ᾽ αὐτοὺς εἶδον, ἐς Βυζάντιόν
us eager-for-war against them they-saw to Byzantium
τε θαρσοῦσιν ἀφῖχθαι καὶ βασιλεῖ ἐς τοσόνδε
both they-dare to-have-come and to-(the)-emperor to so-great(-a-degree)
περιυβρισμένῳ ἐς ὄψιν ἥκειν.
insulted into sight to-come
ἴσως που καὶ ἀναιδείας περιουσίᾳ ἐς ξυμμαχίαν 34.20
perhaps somewhere also of-shamelessness in-excess to alliance
παρακαλέσουσιν ἐφ᾽ ἡμῖν τοῖς οὕτω κατεσπουδασμένοις
they-will-summon(-you) against us the thus devoted
ὑμῖν.
to-you
καὶ μὴν εἰ μὲν ἀποδωσείοντες ἥκουσιν ὥνπερ 34.21
and indeed if indeed wishing-to-give-back they-have-come what-very
ἐπεβάτευσαν, οὐδὲν σφίσι προσῆκον, Λαγγοβάρδας
they-encroached-on nothing to-them belonging Langobards
αἰτιωτάτους τῆς ἐνθένδε ὠφελείας λογιστέον Ῥωμαίοις,
most-responsible for-the from-there benefit must-be-reckoned by-Romans
ὥνπερ τῷ δέει ἀναγκασθέντες τὴν ἀκούσιον εὐγνωμοσύνην
by-whose-very the fear compelled the unwilling gratitude
ὀψὲ τοῦ καιροῦ μεταμπίσχονται.
late of-the season they-put-on

34.22 τῷ γὰρ τὴν ἀνάγκην πεποιημένῳ τὴν χάριν εἰκότως
to-the(-one) for the necessity having-made the thanks fittingly
ὁ τῆς εὐεργεσίας τυχὼν εἴσεται. εἰ δέ γε μηδὲ
the(-one) the benefit having-obtained will-owe if and at-least not-even
νῦν ἐκστῆναι τῶν οὐ προσηκόντων βεβούληνται, τίς
now to-stand-off of-the(-things) not belonging they-have-wished what
ἂν εἴη ταύτης δὴ τῆς κακοτροπίας ὑπερβολή;
— would-be of-this indeed the perversity (the)-excess
34.23 ταῦτα μὲν οὖν ἡμῖν ἀφελείᾳ βαρβαρικῇ, λόγων
these(-things) indeed then by-us in-simplicity barbarian of-words
σπανιζούσῃ, τῶν πραγμάτων οὐδαμῇ ἐπαξίως εἰρήσθω.
lacking of-the affairs in-no-way worthily let-have-been-said
34.24 σὺ δέ, ὦ βασιλεῦ, διασκοπούμενος ὅσα ἐνδεεστέρως
you and O emperor considering as-much-as more-scantily
ἢ κατὰ τὴν χρείαν ἡμῖν εἴρηται, τὰ Ῥωμαίοις
than according-to the need by-us has-been-said the(-things) for-Romans
τε καὶ Λαγγοβάρδαις τοῖς σοῖς ξυνοίσοντα πρᾶσσε,
both and Langobards the yours going-to-be-advantageous do
τοῦτο πρὸς τοῖς ἄλλοις ἅπασιν ἐννοῶν, ὡς ἡμῖν
this in-addition-to the others all considering that with-us
μὲν ἀμφὶ τῷ θεῷ ὁμογνωμονοῦσι τὸ ἐξ ἀρχῆς
indeed about — God being-of-one-mind the from (the)-beginning
συντετάξονται Ῥωμαῖοι δικαίως, τοῖς δὲ Ἀρειανοῖς οὖσι
will-be-ranged Romans justly against-the and Arians being
καὶ δι᾽ αὐτὸ τοῦτο ἀπ᾽ ἐναντίας χωρήσουσι.”
and because-of it this from opposite they-will-go
34.25 Λαγγοβάρδαι μὲν τοσαῦτα εἶπον. γενόμενοι δὲ τῇ
Langobards indeed so-much said having-come and on-the
ὑστεραίᾳ παρὰ βασιλέα καὶ οἱ Γηπαίδων πρέσβεις ἔλεξαν
next-day to (the)-emperor also the of-Gepids envoys said
ὧδε “Δίκαιον, ὦ βασιλεῦ, τοὺς ἐπὶ ξυμμαχίας αἰτήσει
thus just(-it-is) O emperor the(-ones) on of-alliance request

παρὰ τοὺς πέλας ἀφικομένους ἀναδιδάξαι πρῶτον, ὡς
to the neighbors arriving to-teach first that
δίκαιά τε δεησόμενοι πάρεισι καὶ ξύμφορα τοῖς
just(-things) both going-to-ask they-are-present and advantageous to-the(-ones)
ξυμμαχήσουσιν, οὕτω τε τοὺς λόγους, ὧνπερ ἕνεκα
going-to-be-allies thus both the words for-which-very for-the-sake
πρεσβεύουσι, ποιεῖσθαι.
they-are-envoys to-make
ὡς μὲν οὖν ἠδικήμεθα πρὸς Λαγγοβαρδῶν, αὐτόθεν 34.26
that indeed then we-have-been-wronged by Langobards from-itself
δῆλον, δίκῃ γὰρ διαλύειν τὰ διάφορα ἐν σπουδῇ ἔχομεν,
(is)-clear by-justice for to-settle the differences in zeal we-have
δικάζεσθαι δὲ οἷς ἂν σπουδάζηται βιάζεσθαι οὐδαμῇ 34.27
to-go-to-law and with-whom — it-is-striven to-force in-no-way
πρόσεστιν.
it-belongs
ὡς δὲ πολυανθρωπίᾳ τε καὶ ἀρετῇ Γήπαιδες παρὰ πολὺ 34.28
that and in-numbers both and in-valor Gepids by much
Λαγγοβαρδῶν κρείσσους τυγχάνουσιν ὄντες, τί ἄν τις
than-Langobards stronger happen being why — anyone
ἐν εἰδόσι μακρολογοίη;
among knowing(-men) would-speak-at-length
τὸ δὲ ξὺν τοῖς καταδεεστέροις ἐς τὴν ἀγωνίαν καθισταμένους 34.29
the and with the weaker(-ones) into the struggle setting
ἐς κακόν τι προῦπτον ἰέναι, παρὸν τὴν νίκην ξὺν τοῖς
to evil some foreseen to-go it-being-possible the victory with the
δυνατωτέροις ταττομένους ἀκίνδυνον ἔχειν, οὐκ ἄν τινας
more-powerful(-ones) being-ranged without-danger to-have not — any
οἰόμεθα τῶν καὶ κατὰ βραχὺ σωφρονούντων ἑλέσθαι.
we-think of-the(-ones) even by little being-sensible would-choose

34.30 ὥστε καὶ ὑμῖν ἐφ᾽ ἑτέρους τινὰς ἰοῦσι ξυντετάξονται
so-that also with-you against others some going will-be-ranged
τὸ λοιπὸν Γήπαιδες, χάριν μὲν τῶν πεπραγμένων
the rest Gepids gratitude indeed for-the(-things) done
ὀφείλοντες, δυνάμεως δὲ περιουσίᾳ ξυμποριζόμενοι τὴν
owing of-power and by-abundance helping-to-procure the
τῶν πολεμίων, ὡς τὸ εἰκός, ἐπικράτησιν.
of-the enemies as the likely mastery
34.31 καὶ μὴν καὶ τοῦτο λογίζεσθαι ὑμᾶς ἂν πρέποι, ὡς
and indeed also this to-reckon you — it-would-befit that
Λαγγοβάρδαι μὲν ἐξ ὑπογυίου Ῥωμαίοις γεγένηνται
Langobards indeed from (the)-immediate to-Romans have-become
φίλοι, Γήπαιδας δὲ ὑμῖν ἐνσπόνδους τε τὸ ἀνέκαθεν καὶ
friends Gepids and to-you treaty-partners both the from-of-old and
γνωρίμους γεγονέναι ξυμβαίνει.
acquaintances to-have-been it-befalls
34.32 φιλία δὲ χρόνου μήκει ξυμπλεκομένη τὴν διάλυσιν οὐκ
friendship and of-time by-length interwoven the dissolution not
εὐπετῆ ἔχει. ὥστε ξυμμάχους οὐ δυνατοὺς μόνον, ἀλλὰ
easy has so-that allies not powerful only but
καὶ βεβαίους κεκτήσεσθε.
also steadfast you-will-have
34.33 δικαιώματα μὲν οὖν πρὸς ὑμᾶς ἐς τὴν ξυμμαχίαν ἐπαγωγὰ
claims indeed then toward you for the alliance inducing
ταῦτά ἐστιν ἡμῖν. θεάσασθε δὲ ὁποῖοι Λαγγοβάρδαι τοὺς
these are for-us behold and what-sort Langobards in-the
τρόπους εἰσί.
ways are
34.34 δίκῃ μὲν τὰ διάφορα διαλῦσαι, καίπερ πολλὰ
by-justice indeed the differences to-settle although many(-times)
προκαλουμένων ἡμῶν, οὐδαμῇ ἔγνωσαν, θράσει ἀλογίστῳ
summoning(-them) us in-no-way they-resolved by-rashness unreasoning

ἐχόμενοι· ἐπεὶ δὲ ὁ πόλεμος ἤδη που ἐν χερσὶ
held when and the war already somewhere in hands
γέγονεν, οἱ δὲ ὀπίσω τῶν πραγμάτων ἀναποδίζοντες
has-come they and back from-the affairs stepping-back
τῷ τὴν οἰκείαν ἀσθένειαν ξυνεπίστασθαι παρ᾽ ὑμᾶς
by-the the own weakness to-know-with(-themselves) to you
ἥκουσιν, ἀξιοῦντες Ῥωμαίους ἀνελέσθαι τὸν ὑπὲρ αὐτῶν
have-come thinking-fit Romans to-take-up the for them
οὐ δέον ἀγῶνα.
not needful contest

πάντως δὲ οἱ κλῶπες οὗτοι τό τε Σίρμιον καὶ ἄλλα 34.35
surely and the thieves these — both Sirmium and other
ἐπὶ Δακίας ἄττα χωρία ὑπόθεσιν ὑμῖν τοῦ πολέμου τοῦδε
in Dacia certain places (a)-pretext to-you of-the war this
προΐσχονται εἶναι.
put-forward to-be

καίτοι πόλεών τε καὶ χώρας τοσοῦτον τῇ σῇ βασιλείᾳ 34.36
and-yet of-cities both and of-land so-much for-the your empire
περίεστιν ὥστε καὶ διερευνᾶσθαι τῶν ἀνθρώπων τινάς,
is-over so-that also to-search-out of-the men some
οἷς ἂν καὶ δοίης μοῖράν τινα πρὸς ἐνοίκησιν.
to-whom — also you-might-give portion some for habitation

Φράγγους ἀμέλει καὶ τὸ Ἐρούλων ἔθνος καὶ τούτους 34.37
Franks certainly and the of-Eruli nation and these
Λαγγοβάρδας τοσούτοις ἐδωρήσω πόλεώς τε καὶ χώρας,
Langobards with-so-great you-presented of-city both and of-land
ὦ βασιλεῦ, μέτροις, ὁπόσα οὐκ ἄν τις διαριθμήσαιτο.
O emperor measures as-much-as not — anyone could-count

ἡμεῖς δὲ τῇ φιλίᾳ τῇ σῇ τὸ θαρσεῖν ἔχοντες, τοῦτο, 34.38
we and in-the friendship the your the to-be-confident having this
ὅπερ ἐβούλου, διαπεπράγμεθα· ὁ δέ τι προΐεσθαι
which-very you-wished have-accomplished the(-one) and anything to-give-up

τῶν ὑπαρχόντων βεβουλευμένος κρείσσω παρὰ πολὺ
of-the(-things) belonging having-planned greater by much
τοῦ πρὸς αὐτοῦ τετυχηκότος τῆς χάριτος τὸν
than-the(-one) from him having-obtained of-the favor the(-one)
προτερήσαντά τε καὶ γνώμῃ τὸ δῶρον αὐτονόμῳ ἑλόμενον
having-anticipated both and by-decision the gift independent having-chosen
οἴεται εἶναι, ἢν μὴ ἐς τὸν κεκτημένον ὑβρίζων, ἀλλὰ
thinks to-be if not against the owner insulting but
τῷ φίλος οἱ ἐς τὰ μάλιστα εἶναι θαρσῶν, τὴν τοῦ
by-the friend to-him in the most to-be trusting the of-the
πράγματος ἀξίωσιν πεποιῆσθαι δοκεῖ, ὅπερ καὶ Γήπαισιν
thing claim to-have-made he-seems which-very also for-Gepids
ἐς Ῥωμαίους τετύχηκεν εἶναι.
toward Romans has-happened to-be

34.39 ὧν ἐνθυμουμένους ὑμᾶς μάλιστα μὲν κατὰ τὸ
of-which considering you most indeed according-to the
ξυμμαχικὸν αἰτοῦμεν σὺν ἡμῖν ἐπὶ Λαγγοβάρδας ἰέναι
alliance we-ask with us against Langobards to-go
δυνάμει τῇ πάσῃ· εἰ δὲ μή, ἐκποδὼν ἀμφοτέροις στῆναι.
with-power the all if and not out-of-the-way for-both to-stand
ταῦτα γὰρ βουλευόμενοι δίκαιά τε ποιεῖτε καὶ λίαν
these(-things) for planning just(-things) both you-do and very
ἐπιτηδείως τῇ Ῥωμαίων ἀρχῇ."
suitably for-the of-Romans empire

34.40 Καὶ Γήπαιδες μὲν τοσαῦτα εἶπον. βουλευσάμενος δὲ
and Gepids indeed so-much said having-deliberated and
πολλὰ Ἰουστινιανὸς βασιλεὺς αὐτοὺς μὲν ἀποπέμψασθαι
much Justinian emperor them indeed to-send-away
ἀπράκτους ἔγνω, ὁμαιχμίαν δὲ πρὸς Λαγγοβάρδας διώμοτον
unsuccessful resolved (an)-alliance and with Langobards sworn

πεποιημένος πλέον αὐτοῖς ἢ ἐς μυρίους ἱππεῖς ἔπεμψεν,
having-made more to-them than to ten-thousand horsemen sent
ὧν δὴ Κωνσταντιανὸς καὶ Βούζης καὶ Ἀράτιος ἦρχον.
of-whom indeed Constantianus and Buzes and Aratius commanded
ξυνῆν δὲ αὐτοῖς καὶ Ἰωάννης, ὁ Βιταλιανοῦ ἀδελφιδοῦς, 34.41
was-with and them also John the of-Vitalian nephew
προρρηθὲν αὐτῷ ἐκ βασιλέως, ἐπειδὰν τάχιστα
having-been-told-beforehand to-him by (the)-emperor when quickest
διαμαχήσωνται πρὸς τὸ Γηπαίδων ἔθνος, ἐνθένδε σπουδῇ
they-fight-it-out against the of-Gepids nation from-there with-haste
ἐς τὴν Ἰταλίαν ξὺν τοῖς ἑπομένοις ἰέναι. ἐτύγχανε γὰρ
to — Italy with the(-men) following to-go he-happened for
ἐξ Ἰταλίας καὶ αὐτὸς ἥκων.
from Italy also himself having-come
ξύμμαχοι δὲ αὐτοῖς Ἔρουλοι πεντακόσιοί τε καὶ χίλιοι 34.42
allies and them Eruli five-hundred both and thousand
εἵποντο, ὧν ἄλλοι τε καὶ Φιλημοὺθ ἦρχον.
followed of-whom others both and Philemuth commanded
οἱ γὰρ ἄλλοι ξύμπαντες Ἔρουλοι ἐς τρισχιλίους ὄντες 34.43
the for other all Eruli to three-thousand being
ξὺν τοῖς Γήπαισιν ἐτετάχατο, ἐπεὶ Ῥωμαίων ἀποστάντες
with the Gepids had-been-ranged since from-Romans having-revolted
οὐ πολλῷ ἔμπροσθεν ἔτυχον ἐξ αἰτίας ἥ μοι ἐν
not much before they-happened from (a)-cause which by-me in
τοῖς ἔμπροσθεν ἐρρήθη.
the earlier(-accounts) was-said
μοῖρα δὲ Ῥωμαίων τῶν παρὰ Λαγγοβάρδας ἐπὶ 34.44
(a)-part and of-Romans of-the(-ones) to Langobards for
ξυμμαχίᾳ ἰόντων Ἐρούλων τισὶ ξὺν Ἀόρδῳ τῷ τοῦ
alliance going of-Eruli with-some with Aordus the of-the
ἄρχοντος ἀδελφῷ ἐξαπιναίως ἐπιτυγχάνουσι.
ruler brother suddenly meet

34.45 μάχης τε καρτερᾶς γενομένης νικῶσι Ῥωμαῖοι, καὶ τόν τε
battle both fierce having-arisen conquer Romans and — both
Ἄορδον τῶν τε Ἐρούλων πολλοὺς ἔκτειναν. γνόντες δὲ
Aordus of-the both Eruli many killed having-learned and
Γήπαιδες ἄγχιστά πη εἶναι τὸν Ῥωμαίων στρατόν, τὰ
Gepids nearest somewhere to-be the of-Romans army the
διάφορα εὐθὺς Λαγγοβάρδαις διέλυσαν, ἔς τε σπονδὰς οἱ
differences at-once with-Langobards settled into both treaty the
βάρβαροι οὗτοι ξυνέβησαν ἀλλήλοις, ἀκόντων Ῥωμαίων.
barbarians these came with-one-another unwilling Romans
34.46 ταῦτα ἐπεὶ ὁ Ῥωμαίων στρατὸς ἔμαθον, ἐν πολλῇ
these(-things) when the of-Romans army learned in great
ἀμηχανίᾳ ἐγένοντο. οὔτε γὰρ ἔτι ἐδύναντο πρόσω ἰέναι
helplessness they-were neither for still could forward to-go
οὔτε ἀναστρέφειν ὀπίσω εἶχον δειμαίνοντες οἱ στρατηγοὶ
nor to-turn back were-able fearing the generals
μὴ Γήπαιδές τε καὶ Ἔρουλοι καταθέοντες τὴν Ἰλλυριῶν
lest Gepids both and Eruli overrunning the of-Illyrians
λῃΐσωνται χώραν.
plunder land
34.47 αὐτοῦ γοῦν μείναντες ἐς βασιλέα τὰ παρόντα
there at-any-rate having-remained to (the)-emperor the present(-situation)
σφίσιν ἀνήνεγκαν. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.
for-them reported these(-things) indeed then were-done in-this-way
ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.
I and whence the digression of-the account I-made return
35.1 Βελισάριος μὲν τὴν ἐπὶ τὸ Βυζάντιον οὐδενὶ κόσμῳ
Belisarius indeed the(-road) to — Byzantium in-no order
ᾔει, γῆς μὲν τῆς Ἰταλῶν πενταετὲς οὐδαμῇ ἀποβάς,
went of-land indeed the of-Italians (for)-five-years in-no-way having-landed
οὐδέ πη ὁδῷ ἰέναι ἐνταῦθα ἰσχύσας, ἀλλὰ φυγῇ

κεκρυμμένῃ ἐχόμενος πάντα τοῦτον τὸν χρόνον, ἔκ τε
hidden holding all this the time from both
ὀχυρώματος ἀεὶ ἐπιθαλασσίου τινὸς ἐς ἄλλο ἐπὶ τῆς
stronghold always seaside some to another along the
παραλίας ὀχύρωμα διηνεκὲς ναυτιλλόμενος.
coast stronghold continually sailing
καὶ ἀπ᾽ αὐτοῦ ἀδεέστερον τοὺς πολεμίους τετύχηκε Ῥώμην 35.2
and from it more-fearlessly the enemies it-happened Rome
τε ἀνδραποδίσαι καὶ τἄλλα ὡς εἰπεῖν ἅπαντα. τότε
both to-enslave and the-rest so-to to-speak all then
δὲ καὶ Περυσίαν πόλιν, ἣ πρώτη ἐν Τούσκοις οὖσα
and also Perusia city which first in Tuscany being
ἐτύγχανε, πικρότατα πολιορκουμένην ἀπέλιπεν, ἥπερ
happened most-bitterly besieged he-left which-very
αὐτοῦ ἔτι ὁδῷ ἰόντος κατ᾽ ἄκρας ἑάλω.
him still by-road going at (the)-heights was-taken
ἐς Βυζάντιον δὲ ἀφικόμενος διατριβὴν τὸ λοιπὸν ἐνταῦθα 35.3
to Byzantium and having-arrived (a)-stay the rest there
εἶχε, πλούτου μὲν ἐξουσίαν περιβεβλημένος πολλήν,
he-had of-wealth indeed (an)-abundance having-acquired great
εὐτυχήμασι δὲ τοῖς ἔμπροσθεν αὐτῷ ξυμβεβηκόσιν
by-good-fortunes and the earlier to-him having-befallen
ἀπόβλεπτος ὤν, ἅπερ οἱ πρότερον ἢ ἐς Λιβύην
admired being which-very to-him before than to Libya
ἐστράτευσε ξυμβόλῳ προὔλεγέ τινι οὐκ ἀφανεῖ τὸ δαιμόνιον.
he-campaigned by-omen foretold some not obscure the divine(-power)
ὁ δὲ ξύμβολος ἐγένετο ὧδε. ἦν τις Βελισαρίῳ 35.4
the and omen happened thus there-was (a)-certain to-Belisarius
κλῆρος ἐν Βυζαντίων τῷ προαστείῳ, ὃ δὴ Παντείχιον
estate in of-Byzantines the suburb which indeed Panteichion
μὲν ὀνομάζεται, κεῖται δὲ ἐν τῇ ἀντιπέρας ἠπείρῳ.
indeed is-named lies and on the opposite mainland

ἐνταῦθα ὀλίγῳ ἔμπροσθεν ἢ ἔμελλε Βελισάριος ἐπί τε
there little before than was-about Belisarius against both
Γελίμερα καὶ Λιβύην ἐξηγήσασθαι τῷ Ῥωμαίων στρατῷ,
Gelimer and Libya to-lead the of-Romans army
ἐνδελεχέστατα πλήθειν οἱ τὰς ἀμπέλους ξυνέβη.
most-abundantly to-be-full for-him the vines befell

35.5 οἴνου τε ὃς ἐνθένδε γεγονὼς ἔτυχε πίθων οἱ
of-wine both which from-there having-been-made happened of-jars the
θεράποντες ἐμπλησάμενοι μέγα τι χρῆμα, καὶ αὐτῶν τὰ
servants having-filled great some quantity and of-them the
μὲν ἔνερθεν κατορύξαντες, τὰ δὲ ὕπερθεν πηλῷ ἐς
indeed lower(-parts) having-buried the and upper(-parts) with-mud to
τὸ ἀκριβὲς ἐπιβύσαντες, ἐν τῷ οἰνῶνι κατέθεντο.
the exact having-stopped-up in the wine-cellar deposited

35.6 μησὶ δὲ ὀκτὼ ὕστερον ἐν πίθοις τισὶν ἀναβράσσων ὁ
months and eight later in jars some boiling-up the
οἶνος διεσπάσατο μὲν τὸν πηλὸν ᾧπερ ἐπέφρακτο
wine tore-apart indeed the mud with-which-very had-been-sealed
αὐτῶν ἕκαστος, ὑπερβλύσας δὲ καὶ ῥεύσας πολὺς ἐς
of-them each having-overflowed and and having-flowed much to
τοσόνδε γῆν τὴν ἐχομένην ἐπέκλυσεν ὥστε καὶ τέλμα
so-great(-a-degree) land the adjoining flooded so-that also (a)-pool
ἐν τούτῳ τῷ ἐδάφει ἐργάσασθαι μέγα.
on this the ground to-make great

35.7 ὅπερ ἐπεὶ οἱ θεράποντες εἶδον, ἐν θάμβει μεγάλῳ
which-very when the servants saw in amazement great
γενόμενοι πολλοὺς μὲν ἐνθένδε ἀμφορέας ἐμπλήσασθαι
having-been many indeed from-there amphoras to-fill
ἔσχον, αὖθις δὲ τούτους δὴ τοὺς πίθους τῷ πηλῷ
they-were-able again and these indeed the jars with-the mud
ἀποφράξαντες τὰ παρόντα ἐν σιωπῇ εἶχον.
having-stopped-up the present(-matter) in silence held

ἐπεὶ δὲ τοῦτο πολλάκις ὑπὸ τὸν αὐτὸν χρόνον γεγονὸς 35.8
when and this often about the same time having-happened
εἶδον, αὐτοὶ μὲν ἐπὶ τὸν κεκτημένον τὸ πρᾶγμα ἦγον,
they-saw they-themselves indeed to the owner the matter brought
ὁ δὲ τῶν ἐπιτηδείων πολλοὺς ἐνταῦθα ἀγείρας ἐπέδειξε
he and of-the close(-friends) many there having-gathered showed
τὰ ποιούμενα· οἵπερ τῷ ξυμβόλῳ τεκμηριούμενοι ἐς
the(-things) being-done who-very by-the omen judging for
ταύτην δὴ τὴν οἰκίαν μεγάλα προὔλεγον ἀγαθὰ ἔσεσθαι.
this indeed the house great foretold goods to-be
Ταῦτα μὲν οὖν τῇδε Βελισαρίῳ ἐχώρησε. Βιγίλιος 35.9
these(-things) indeed then in-this-way for-Belisarius went Vigilius
δέ, ὁ τῆς Ῥώμης ἀρχιερεύς, ξὺν Ἰταλοῖς τοῖς ἐνταῦθα
and the — of-Rome high-priest with Italians the(-ones) there
τηνικάδε παροῦσι, πολλοῖς τε καὶ λογιμωτάτοις ἐσάγαν
at-that-time present many both and most-notable very
οὖσιν, οὐκέτι ἀνίει, ἀλλ᾽ ἔχρῃζε βασιλέως Ἰταλίας
being no-longer let-up but begged (the)-emperor Italy
μεταποιεῖσθαι δυνάμει τῇ πάσῃ.
to-lay-claim-to with-power the all
μάλιστα δὲ πάντων αὐτὸν Γόθιγος ἐνῆγε, πατρίκιος 35.10
most and of-all him Gothigus urged patrician
ἀνήρ, ἐς τῶν ὑπάτων τὸν δίφρον ἀναβεβηκὼς πολλῷ
(a)-man to of-the consuls the chair having-ascended much
πρότερον· ἐπεὶ καὶ αὐτὸς τούτων δὴ ἕνεκεν ἐς Βυζάντιον
before since also he these indeed for-the-sake to Byzantium
ἀφικόμενος ἔτυχεν ἔναγχος.
having-arrived happened lately
βασιλεὺς δὲ Ἰταλίας μὲν ἐπηγγέλλετο προνοήσειν αὐτὸς, 35.11
(the)-emperor and for-Italy indeed promised to-provide himself
ἀμφὶ δὲ τὰ Χριστιανῶν δόγματα ἐκ τοῦ ἐπὶ πλεῖστον
about and the of-Christians doctrines from the to (the)-most

διατριβὴν εἶχεν, εὖ διαθέσθαι τὰ ἐν σφίσιν
(a)-stay he-had well to-settle the(-things) among them
ἀντιλεγόμενα σπουδάζων καὶ διατεινόμενος μάλιστα.
disputed being-eager and straining most

35.12 ταῦτα μὲν ἐν Βυζαντίῳ ἐπράσσετο. ἐτύγχανε δὲ
these(-things) indeed in Byzantium were-done happened and
Λαγγοβάρδης ἀνὴρ ἐς Γήπαιδας φεύγων ἐξ αἰτίας
(a)-Langobard man to Gepids fleeing from cause
τοιᾶσδε.
such

35.13 ἡνίκα Λαγγοβαρδῶν Οὐάκης ἦρχεν, ἦν τίς οἱ
when of-Langobards Waces ruled there-was (a)-certain to-him
ἀνεψιὸς Ῥισιοῦλφος ὄνομα, ὃν δὴ ὁ νόμος, ἐπειδὰν
nephew Risiulfus by-name whom indeed the law when
Οὐάκης τελευτήσειεν, ἐπὶ τὴν ἡγεμονίαν ἐκάλει.
Waces should-die to the leadership called

35.14 προνοήσας οὖν Οὐάκης ὅπως εἰς τὸν παῖδα τὸν αὑτοῦ ἡ
having-provided then Waces that to the son the his-own the
ἀρχὴ ἄγοιτο, ἔγκλημα Ῥισιούλφῳ ἐπενεγκὼν αἰτίαν
rule might-be-brought (a)-charge on-Risiulfus having-brought cause
οὐκ ἔχον φυγῇ τὸν ἄνθρωπον ἐζημίωσεν.
not having with-exile the man punished

35.15 ὃς δὴ ἐξ ἠθῶν ἀναστὰς τῶν πατρίων ξὺν ὀλίγοις
who indeed from haunts having-risen-up the ancestral with few
τισὶν ἐς τοὺς Οὐάρνους αὐτίκα φεύγει, παίδων οἱ
some to the Warni at-once flees children to-him
ἀπολελειμμένων ἐνταῦθα δυοῖν.
having-been-left there two

35.16 χρήμασι δὲ Οὐάκης τοὺς βαρβάρους τούτους ἀνέπεισε
with-money and Waces the barbarians these persuaded
τὸν Ῥισιοῦλφον κτεῖναι. τῶν δὲ Ῥισιούλφου παίδων ὁ
— Risiulfus to-kill of-the and of-Risiulfus children the

μὲν εἷς ἐτελεύτησε νόσῳ, ὁ δὲ δὴ ἕτερος, Ἰλδίγης
indeed one died by-disease the and indeed other Ildiges
ὄνομα, ἐς Σκλαβηνοὺς φεύγει.
by-name to Sclaveni flees
οὐ πολλῷ μὲν οὖν ὕστερον ὁ μὲν Οὐάκης νοσήσας ἐξ 35.17
not much indeed then later — indeed Waces having-fallen-ill from
ἀνθρώπων ἠφάνιστο, ἐς δὲ Οὐάλδαρον, τὸν Οὐάκου υἱόν,
men had-vanished to and Waldarus the of-Waces son
ἡ Λαγγοβαρδῶν ἦλθεν ἀρχή. ᾧ δὴ παιδὶ κομιδῇ
the of-Langobards came rule for-whom indeed (a)-boy quite
ὄντι ἐπίτροπος καταστὰς Αὐδουὶν τὴν ἀρχὴν διῳκεῖτο.
being guardian having-been-appointed Audoin the rule administered
δυνάμει τε πολλῇ ἀπ᾽ αὐτοῦ χρώμενος αὐτὸς τὴν ἀρχὴν 35.18
with-power both great from it using he the rule
οὐκ ἐς μακρὰν ἔσχε, τοῦ παιδὸς τούτου νόσῳ αὐτίκα
not at long held the child this by-disease at-once
ἐξ ἀνθρώπων ἀφανισθέντος.
from men having-been-made-away-with
ἡνίκα τοίνυν Γήπαισί τε καὶ Λαγγοβάρδαις ὁ πόλεμος 35.19
when therefore for-Gepids both and Langobards the war
κατέστη, ὥσπερ μοι εἴρηται, Ἰλδίγης εὐθὺς Λαγγοβαρδῶν
arose as by-me has-been-said Ildiges at-once of-Langobards
τε τούς οἱ ἐπισπομένους καὶ Σκλαβηνῶν πολλοὺς
both the to-him following and of-Sclaveni many
ἐπαγαγόμενος ἐς Γήπαιδας ἦλθε, καὶ αὐτὸν Γήπαιδες
bringing to Gepids came and him Gepids
κατάξειν ἐπὶ τὴν ἀρχὴν ἐλπίδα εἶχον.
to-restore to the rule hope had
γενομένων δὲ τῶν ἐν τῷ παρόντι πρὸς Λαγγοβάρδας 35.20
having-been-made and the in the present with Langobards
σπονδῶν ἕνεκα ὁ μὲν Αὐδουὶν τὸν Ἰλδίγην εὐθὺς ἅτε
treaty for-the-sake — indeed Audoin — Ildiges at-once as

πρὸς φίλων ἐξητεῖτο Γηπαίδων, οἱ δὲ τὸν μὲν ἄνθρωπον
from friends demanded Gepids they and the indeed man
ἐκδοῦναι οὐδαμῇ ἔγνωσαν, ἐκέλευον δὲ αὐτὸν ἐνθένδε
to-hand-over in-no-way resolved they-ordered and him from-there
ἀπαλλαγέντα ὅπῃ βούλοιτο διασώσασθαι.
having-departed wherever he-might-wish to-save(-himself)

35.21 καὶ ὃς μελλήσει οὐδεμιᾷ ξὺν τοῖς ἑπομένοις καὶ
and he with-delay no with the(-men) following and
Γηπαίδων τισὶν ἐθελουσίοις ἐς Σκλαβηνοὺς αὖθις ἀφίκετο.
of-Gepids some willing to Sclaveni again arrived

35.22 ἔνθεν τε ἀναστὰς παρὰ Τουτίλαν τε καὶ Γότθους ᾔει,
from-there both having-risen-up to Totila both and Goths went
στράτευμα οὐχ ἧσσον ἢ ἐς ἑξακισχιλίους ξὺν αὑτῷ ἔχων,
army not less than to six-thousand with himself having
ἔς τε Βενετίας ἀφικόμενος Ῥωμαίοις τισὶν ὑπαντήσας, ὧν
to both Venetia having-arrived Romans some having-met whom
Λάζαρος ἡγεῖτο, ἐς χεῖρας ἦλθε, τρεψάμενός τε αὐτοὺς
Lazarus led to hands came having-routed both them
πολλοὺς ἔκτεινεν. οὐ μέντοι Γότθοις ξυνέμιξεν, ἀλλ' Ἴστρον
many killed not however with-Goths joined but (the)-Ister
ποταμὸν διαβὰς αὖθις ἐς Σκλαβηνοὺς ἀπεχώρησεν.
river having-crossed again to Sclaveni withdrew

35.23 Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε ἦπέρ μοι εἴρηται,
in which and these(-things) were-done in-this-way as by-me has-been-said
ἐν τούτῳ τῶν τις Βελισαρίου δορυφόρων, Ἰνδοὺλφ
in this of-the (a)-certain of-Belisarius guards Indulf
ὄνομα, βάρβαρος γένος, θυμοειδής τε καὶ δραστήριος, ὃς
by-name (a)-barbarian by-race high-spirited both and energetic who
δὴ ἐν Ἰταλίᾳ λειφθεὶς ἔτυχε, Τουτίλᾳ τε καὶ Γότθοις
indeed in Italy left-behind happened to-Totila both and Goths
προσεχώρησεν οὐδενὶ λόγῳ.
went-over for-no reason

καὶ αὐτὸν ὁ Τουτίλας εὐθὺς ξὺν στρατῷ πολλῷ καὶ 35.24
and him — Totila at-once with army great and
ναυσὶν ἔπεμψεν ἐς τὰ ἐπὶ Δαλματίας χωρία.
ships sent to the toward Dalmatia places
ὃς δὴ ἐν χωρίῳ Μουικούρῳ καλουμένῳ γενόμενος, 35.25
who indeed in (a)-place Muicurum called having-come
ὅπερ ἐπιθαλάσσιον ἄγχιστά πη Σαλώνων ἐστί,
which-very seaside nearest somewhere to-Salones is
τὰ μὲν πρῶτα ξυνέμισγε τοῖς ταύτῃ ἀνθρώποις ἅτε
the indeed first mingled with-the there men as
Ῥωμαῖός τε ὢν καὶ Βελισαρίῳ προσήκων, ἔπειτα δὲ
(a)-Roman both being and to-Belisarius belonging then and
αὐτός τε τὸ ξίφος ἀράμενος καὶ τοῖς ἐπισπομένοις
he both the sword having-raised and to-the(-ones) following
ἐγκελευσάμενος ἐξαπιναίως ἅπαντας ἔκτεινε.
having-given-the-word suddenly all killed
ληϊσάμενός τε τὰ χρήματα πάντα ἐνθένδε ἀπιὼν ᾤχετο, 35.26
having-plundered both the money all from-there departing he-went-off
ἐπέσκηψε δὲ ἄλλῳ ἐν τῇ παραλίᾳ κειμένῳ φρουρίῳ,
fell-upon and another on the coast lying fortress
ὅπερ Λαυρεάτην καλοῦσι Ῥωμαῖοι.
which-very Laureate call Romans
οὗ δὴ ἐπιβὰς τοὺς παραπεπτωκότας ἀνῄρει. ἅπερ 35.27
where indeed having-landed the(-ones) falling-in-his-way he-killed which-very
ἐπεὶ Κλαυδιανὸς ἔγνω, ὅσπερ τότε Σαλώνων ἦρχε,
when Claudian learned who-very then Salones commanded
στράτευμα ἐπὶ τῶν καλουμένων δρομώνων ἐπ᾽ αὐτὸν
army on the called dromons against him
ἔπεμψεν.
sent

35.28 οἳ δὴ ἐπεὶ ἐν Λαυρεάτῃ ἐγένοντο, τοῖς πολεμίοις
who indeed when in Laureate they-came with-the enemies
ἐς χεῖρας ἦλθον. παρὰ πολύ τε ἡσσηθέντες τῇ μάχῃ
to hands came by much both defeated in-the battle
ἔφυγον ὅπη ἑκάστῳ δυνατὰ γέγονε, τοὺς δρόμωνας ἐν τῷ
they-fled where for-each possible became the dromons in the
λιμένι ἀπολιπόντες. οὗ δὴ καὶ τὰ ἄλλα πλοῖα ἔμπλεα
harbor having-left where indeed also the other boats full
σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων ὄντα ἐτύγχανεν.
of-grain both and of-the other provisions being happened
35.29 ἅπερ ἅπαντα Ἰνδούλφ τε καὶ Γότθοι ἑλόντες κτείναντές
which-very all Indulf both and Goths having-taken having-killed
τε τοὺς ἐν ποσὶν ἅπαντας καὶ τὰ χρήματα ληϊσάμενοι
both the(-ones) in (the)-way all and the money having-plundered
παρὰ Τουτίλαν ἦλθον.
to Totila came
35.30 καὶ ὁ χειμὼν ἔληγε, καὶ τέταρτον καὶ δέκατον ἔτος
and the winter was-ending and (the)-fourth and tenth year
ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.
ended for-the war this which Procopius wrote

Isaurian guards betray Rome to Totila a second time; Paul's four hundred, besieged at Hadrian's tomb, resolve to die, then most join the Goths. Refused a Frankish bride, Totila rebuilds and repeoples Rome, besieges Centumcellae, and attacks Rhegium. The Sclaveni rout Asbadus, take Toperus, and kill their captives by impaling and burning.

Μετὰ δὲ Τουτίλας ἅπαν ἐπὶ Ῥώμην τὸ στράτευμα ἦγε, 36.1
afterward and Totila all against Rome the army led
καὶ ἐγκαθεζόμενος εἰς πολιορκίαν καθίστατο. ἐτύγχανε δὲ
and having-sat-down into siege settled happened and
Βελισάριος τρισχιλίους ἀριστίνδην ἀπολεξάμενος, οὕσπερ ἐπὶ
Belisarius three-thousand by-merit having-chosen whom-very over
τῷ Ῥώμης φυλακτηρίῳ καταστησάμενος Διογένην αὐτοῖς
the of-Rome garrison having-set Diogenes for-them
ἄρχοντα, τῶν δορυφόρων τῶν αὑτοῦ ἕνα, ἐπέστησεν, ἄνδρα
(as)-commander of-the guards the his-own one he-set (a)-man
ξυνετόν τε διαφερόντως καὶ ἀγαθὸν τὰ πολέμια.
intelligent both exceedingly and good in-the(-things) of-war
διὸ δὴ χρόνου μῆκος τῇ προσεδρείᾳ ταύτῃ ἐτρίβετο. 36.2
wherefore indeed of-time (a)-length on-the siege this was-spent
οἵ τε γὰρ πολιορκούμενοι ἀρετῆς περιουσίᾳ πρὸς ἅπαντα
the both for besieged of-valor by-excess against all
τὸν Γότθων στρατὸν ἀξιόμαχοι ὄντες ἐφαίνοντο καὶ
the of-Goths army a-match being appeared and
Διογένης ἔς τε τὸ ἀκριβὲς τῇ φυλακῇ ἐχρῆτο ὡς μή
Diogenes to both the exact the guard used so-that not
τις κακουργήσων ἐπὶ τὸ τεῖχος ἴοι καὶ πανταχόθι
any(-one) going-to-do-harm against the wall should-go and everywhere

τῆς πόλεως σῖτον ἐντὸς τοῦ περιβόλου σπείρας ἐνδεῖν
of-the city grain within the circuit-wall having-sown to-lack
σφίσι τὰ ἐπιτήδεια ὡς ἥκιστα ἐποίει.
for-them the provisions as least made

36.3 πολλάκις δὲ οἱ βάρβαροι τειχομαχεῖν ἐγχειρήσαντες καὶ
often and the barbarians to-assault-the-wall having-attempted and
τοῦ περιβόλου ἀποπειράσασθαι ἀπεκρούσθησαν, ἀρετῇ
the circuit-wall to-make-trial-of were-repulsed by-valor
σφᾶς ἀπωσαμένων ἐνθένδε Ῥωμαίων. τοῦ μέντοι Πόρτου
them having-thrust-back from-there Romans — however Portus
κρατήσαντες Ῥώμην κατὰ κράτος ἐπολιόρκουν. ταῦτα
having-taken-possession-of Rome by force they-besieged these(-things)
μὲν οὖν ἐφέρετο τῇδε.
indeed then went in-this-way

36.4 βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπειδὴ Βελισάριον ἐς Βυζάντιον
(the)-emperor and Justinian when Belisarius to Byzantium
ἥκοντα εἶδεν, ἄρχοντα πέμπειν ξὺν στρατῷ ἄλλον ἐπὶ
having-come saw (a)-commander to-send with army another against
Γότθους τε διενοεῖτο καὶ Τουτίλαν.
Goths both intended and Totila

36.5 καὶ εἰ μὲν ἐπιτελῆ ταύτην δὴ ἐπεποιήκει τὴν ἔννοιαν,
and if indeed accomplished this indeed he-had-made the idea
οἶμαι ἄν, Ῥώμης μὲν ἔτι ὑπ᾽ αὐτῷ οὔσης, σεσωσμένων
I-think — Rome indeed still under him being saved
δέ οἱ τῶν ἐνταῦθα στρατιωτῶν καὶ τοῖς ἐκ
and to-him the there soldiers and with-the(-ones) from
Βυζαντίου ἐπιβεβοηθηκόσιν ἀναμίγνυσθαι δυναμένων,
Byzantium having-come-to-help to-mingle being-able
περιέσεσθαι τῶν ἐναντίων αὐτὸν τῷ πολέμῳ.
to-prevail-over the opponents him in-the war

νῦν δὲ τὰ μὲν πρῶτα Λιβέριον ἀπολεξάμενος, ἄνδρα τῶν 36.6
now and the indeed first Liberius having-chosen (a)-man of-the
ἐκ Ῥώμης πατρικίων, ἐν παρασκευῇ ἐκέλευε γενέσθαι,
from Rome patricians in readiness he-ordered to-be
μετὰ δὲ ἀσχολίας οἱ ἴσως ἐπιγενομένης ἑτέρας τινὸς
afterward and distraction to-him perhaps having-come-on another some
τὴν προθυμίαν κατέπαυσε.
the eagerness he-stopped
Χρόνου δὲ τῇ Ῥώμης πολιορκίᾳ τριβέντος πολλοῦ, 36.7
time and in-the of-Rome siege having-been-spent much
τῶν τινες Ἰσαύρων, οἳ ἀμφὶ πύλην, ἣ Παύλου τοῦ
of-the some Isaurians who about (the)-gate which of-Paul the
ἀποστόλου ἐπώνυμός ἐστι, φυλακὴν εἶχον, (ἅμα μὲν
apostle named is guard held together indeed
ἐπικαλοῦντες ἐνιαυτῶν πολλῶν οὐδὲν πρὸς βασιλέως
charging of-years many nothing from (the)-emperor
σφίσι δεδόσθαι, ἅμα δὲ καὶ Ἰσαύρους ὁρῶντες τοὺς
to-them to-have-been-given together and also Isaurians seeing the(-ones)
παραδόντας Ῥώμην τὰ πρότερα Γότθοις, κεκομψευμένους
having-handed-over Rome the former(-times) to-Goths decked-out
ἐπὶ μεγάλων τινῶν χρημάτων ὄγκῳ) Τουτίλᾳ λαθραιότατα
on great some of-money mass to-Totila most-secretly
ἐς λόγους ἐλθόντες ὡμολόγησαν τὴν πόλιν ἐνδώσειν,
into talks having-come agreed the city to-surrender
τακτή τε ξυνέκειτο ἡμέρα τῇ πράξει.
(a)-fixed both was-agreed day for-the action
καὶ ἐπεὶ παρῆν ἡ κυρία, Τουτίλας μηχανᾶται τοιάδε. 36.8
and when was-present the appointed(-day) Totila contrives such(-things)
ἐς ποταμὸν Τίβεριν ἐν πρώτῃ τῶν νυκτῶν φυλακῇ δύο
into (the)-river Tiber in (the)-first of-the nights watch two

πλοῖα μακρὰ καθῆκεν, ἄνδρας ἐνταῦθα χρῆσθαι ταῖς
boats long he-launched men there to-use the
σάλπιγξιν ἐπισταμένους ἐνθέμενος.
trumpets knowing having-put(-in-them)

36.9 οἷς δὴ ἐπέστελλε διὰ μὲν τοῦ Τιβέριδος ἐρέσσοντας
to-whom indeed he-enjoined through indeed the Tiber rowing
ἐπίπροσθεν ἰέναι, ἐπειδὰν δὲ τοῦ περιβόλου ἄγχιστα
forward to-go when and the circuit-wall nearest
ἥκωσι, ταῖς σάλπιγξιν ἐνταῦθα ἠχεῖν δυνάμει τῇ πάσῃ.
they-come with-the trumpets there to-sound with-power the all

36.10 αὐτὸς δὲ τὸν Γότθων στρατὸν ἄγχιστα πύλης τῆς
he and the of-Goths army nearest (the)-gate the
εἰρημένης, ἣ Παύλου τοῦ ἀποστόλου ἐπώνυμός ἐστι,
said which of-Paul the apostle named is
λανθάνων τοὺς πολεμίους ἐν παρασκευῇ εἶχε.
escaping-notice-of the enemies in readiness held

36.11 λογισάμενός τε ὡς ἦν τινες τοῦ Ῥωμαίων στρατοῦ ἅτε ἐν
having-reckoned both that if some of-the of-Romans army as in
σκότῳ διαλαθόντες ἐκ τῆς πόλεως διαδρᾶναι οἷοί τε ὦσιν,
darkness having-escaped-notice from the city to-run-away able — be
ἴωσιν ἐς Κεντουκέλλας, ἐπεὶ ὀχύρωμα ἕτερον τῶν τῇδε
they-should-go to Centumcellae since stronghold other of-the there
χωρίων οὐδαμῇ σφίσιν ἐλέλειπτο, ἀνδρῶν μαχίμων ἐνέδραις
places in-no-way to-them had-been-left of-men warlike with-ambushes
τισὶ προλοχίζειν ἔγνω τὴν ἐνταῦθα ὁδὸν φέρουσαν,
some to-beset-beforehand he-resolved the there road leading
οἷς δὴ ἐπήγγελλε τοὺς φεύγοντας διαχρήσασθαι.
to-whom indeed he-enjoined the(-ones) fleeing to-make-away-with

οἱ μὲν οὖν ἐν τοῖς πλοίοις ὄντες, ἐπεὶ τῆς πόλεως ἄγχι 36.12
the indeed then in the boats being when the city near
ἐγένοντο, ἐχρῶντο ἤδη κατὰ τὰ σφίσιν ἐπηγγελμένα
they-came used now according-to the(-things) to-them enjoined
ταῖς σάλπιγξι.
the trumpets
Ῥωμαῖοι δὲ καταπλαγέντες ἐς μέγα τε δέος καὶ 36.13
Romans and struck-with-terror into great both fear and
θόρυβον καταστάντες ἐξαπιναίως ἀπολιπόντες οὐδενὶ λόγῳ
uproar having-fallen suddenly having-left for-no reason
τὰ σφέτερα φυλακτήρια ἐβοήθουν ἐνταῦθα δρόμῳ, τὴν
the their-own guard-posts helped there at-(a)-run the
ἐπιβουλὴν ἐς τὸ ἐκείνῃ τεῖχος εἶναι οἰόμενοι.
plot to the there wall to-be thinking
μόνοι τε οἱ προδιδόντες Ἴσαυροι ἐπὶ τῇ αὐτῶν φυλακῇ 36.14
alone both the betraying Isaurians at the their guard
μείναντες τάς τε πύλας κατ᾽ ἐξουσίαν ἀνέῳγον καὶ τῇ
having-remained the both gates at liberty opened and into-the
πόλει τοὺς πολεμίους ἐδέξαντο.
city the enemies received
καὶ πολὺς μὲν τῶν παραπεπτωκότων ἐνταῦθα 36.15
and great indeed of-the(-ones) falling-in-the-way there
γεγένηται φόνος, πολλοὶ δὲ φεύγοντες δι᾽ ἑτέρων
arose slaughter many and fleeing through other
πυλῶν ᾤχοντο, οἱ δὲ τὴν ἐπὶ Κεντουκέλλας ἰόντες
gates went-off the(-ones) and the(-road) to Centumcellae going
ὑπό τε τοῖς ἐνεδρεύουσι γενόμενοι διεφθάρησαν. ὀλίγοι
under both the(-ones) lying-in-ambush having-come were-destroyed few
μέντοι αὐτῶν διέφυγον μόλις, ἐν οἷς καὶ Διογένην
however of-them escaped with-difficulty among whom also Diogenes
πληγέντα φασὶ διασεσῶσθαι.
wounded they-say to-have-been-saved

36.16 Ἦν δέ τις ἐν τῷ Ῥωμαίων στρατῷ Παῦλος μὲν
there-was and (a)-certain in the of-Romans army Paul indeed
ὄνομα, Κίλιξ δὲ γένος, ὃς τὰ μὲν πρῶτα ἐφειστήκει
by-name (a)-Cilician and by-race who the indeed first had-been-set-over
τῇ Βελισαρίου οἰκίᾳ, ὕστερον δὲ καταλόγου ἱππικοῦ
the of-Belisarius household later and of-(a)-company of-cavalry
ἄρχων ἔς τε Ἰταλίαν ἐστράτευσε καὶ ξὺν τῷ Διογένει
commander to both Italy campaigned and with — Diogenes
ἐπὶ τῷ Ῥώμης φυλακτηρίῳ ἐτέτακτο.
over the of-Rome garrison had-been-posted

36.17 οὗτος ὁ Παῦλος, ἁλισκομένης τότε τῆς πόλεως, ξὺν
this — Paul being-captured then the city with
ἱππεῦσι τετρακοσίοις ἔς τε τὸν Ἀδριανοῦ τάφον ἀνέδραμε
horsemen four-hundred to both the of-Hadrian tomb ran-up
καὶ τὴν γέφυραν ἔσχε τὴν ἐς Πέτρου τοῦ ἀποστόλου τὸν
and the bridge held the to of-Peter the apostle the
νεὼν φέρουσαν.
church leading

36.18 τοῦ δὲ Γότθων στρατοῦ, ὄρθρου τε ὄντος καὶ μέλλοντός
the and of-Goths army dawn both being and being-about
τι ὑποφαίνειν ἡμέρας, τούτοις δὴ τοῖς ἀνδράσιν
something to-show of-day with-these indeed the men
ἐς χεῖρας ἐλθόντος, ἐνταῦθα ἰσχυρότατα τοὺς πολεμίους
to hands having-come there most-strongly the enemies
ὑφιστάμενοι τὸ πλέον ἔσχον· τῶν τε βαρβάρων ἅτε
withstanding the better they-had of-the both barbarians as
πλήθους τε μεγάλου καὶ στενοχωρίας ἐν αὐτοῖς οὔσης
of-multitude both great and of-narrowness among them being
πολλοὺς ἔκτειναν.
many they-killed

ὅπερ ἐπεὶ ὁ Τουτίλας εἶδε, κατέπαυσε μὲν αὐτίκα 36.19
which-very when — Totila saw stopped indeed at-once
τὴν μάχην, Γότθους δὲ τοῖς πολεμίοις ἀντικαθεζομένους
the battle Goths and the enemies sitting-opposite
ἡσυχάζειν ἐκέλευεν, οἰόμενος λιμῷ τοὺς ἄνδρας αἱρήσειν.
to-keep-quiet ordered thinking by-famine the men to-take
ταύτην μὲν οὖν τὴν ἡμέραν Παῦλός τε καὶ οἱ τετρακόσιοι 36.20
this indeed then the day Paul both and the four-hundred
ἀπόσιτοι διαγεγόνασι, τήν τε νύκτα οὕτως ηὐλίσαντο·
without-food passed the both night thus bivouacked
τῇ δὲ ἐπιγενομένῃ ἐβουλεύσαντο μὲν σιτίζεσθαι τῶν
on-the and following they-planned indeed to-feed-on of-the
ἵππων τισίν, ὄκνησις δὲ αὐτοὺς τῷ τῆς ἐδωδῆς οὐ
horses some hesitation and them by-the of-the food not
ξυνειθισμένῳ διεκρούσατο μέχρι ἐς δείλην ὀψίαν, καίπερ
customary held-off as-far to evening late although
πιεζομένους τῷ λιμῷ ἐς τὰ μάλιστα.
pressed by-the famine in the most
τότε δὲ πολλὰ λογισάμενοι ἐν σφίσιν αὐτοῖς, καὶ 36.21
then and many(-things) having-reckoned among them selves and
ἀλλήλους ἐς εὐτολμίαν παρακαλέσαντες, ἐβουλεύσαντο
one-another to daring having-urged they-decided
ἄμεινον σφίσιν εἶναι εὐπρεπεῖ θανάτῳ αὐτίκα δὴ μάλα
better for-them to-be by-seemly death at-once indeed very
καταλῦσαι τὸν βίον.
to-end the life
ὁρμῆσαι μὲν γὰρ ἔγνωσαν ἐπὶ τοὺς πολεμίους ἐκ τοῦ 36.22
to-rush indeed for they-resolved against the enemies out-of the
αἰφνιδίου, κτεῖναι δὲ αὐτῶν ὅσους ἂν ἑκάστῳ δυνατὰ
sudden to-kill and of-them as-many-as — for-each possible
εἴη, οὕτω τε ἀνδρείως τῆς τελευτῆς τυχεῖν ἅπαντες.
might-be thus both bravely the end to-meet all

36.23 ἀλλήλους τοίνυν ἐξαπιναίως περιπλακέντες καὶ τῶν
one-another therefore suddenly having-embraced and the
προσώπων καταφιλήσαντες τὴν ἐπὶ θανάτῳ
faces having-kissed the(-greeting) at death
ἠσπάζοντο, ὡς ἀπολούμενοι εὐθὺς ἅπαντες.
they-greeted as going-to-perish at-once all
36.24 ὅπερ κατανοήσας ὁ Τουτίλας ἔδεισε μὴ θανατῶντες
which-very having-observed — Totila feared lest courting-death
ἄνθρωποι καὶ σωτηρίας πέρι ἐλπίδα οὐδεμίαν τὸ λοιπὸν
men and of-safety about hope no the rest
ἔχοντες ἀνήκεστα ἔργα Γότθους δράσωσι.
having irreparable deeds to-Goths they-might-do
36.25 πέμψας οὖν παρ' αὐτοὺς δυοῖν προὐτείνετο αὐτοῖς
having-sent then to them of-two he-proposed to-them
αἵρεσιν, ὅπως ἢ τοὺς ἵππους ἀφέντες ἐνταῦθα καὶ τὰ
(a)-choice that either the horses having-let-go there and the
ὅπλα καταθέμενοι, ἀπομόσαντές τε μηκέτι ἐπὶ Γότθους
arms having-laid-down having-sworn both no-longer against Goths
στρατεύεσθαι, κακῶν ἀπαθεῖς ἐς Βυζάντιον ἀπαλλάσσωνται,
to-campaign of-evils unharmed to Byzantium they-depart
ἢ τὰ σφέτερα αὐτῶν ἔχοντες ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ
or the their-own of-them having on the equal and like(-terms)
Γότθοις τὸ λοιπὸν ξυστρατεύσωσι.
with-Goths the rest they-campaign
36.26 τούτους Ῥωμαῖοι τοὺς λόγους ἄσμενοι ἤκουσαν. καὶ τὰ
these Romans the words gladly heard and the
μὲν πρῶτα τὴν ἐπὶ τὸ Βυζάντιον εἵλοντο ἅπαντες,
indeed first the(-road) to — Byzantium chose all
ἔπειτα δὲ πεζοὶ μὲν ποιεῖσθαι καὶ ἄνοπλοι τὴν ἀναχώρησιν
then and on-foot indeed to-make and unarmed the withdrawal
αἰσχυνόμενοι, δειμαίνοντες δὲ μή τισιν ἐνέδραις ἐν τῇ
being-ashamed fearing and lest in-some ambushes in the

ἀποπορείᾳ περιπεπτωκότες διαφθαρεῖεν, ἅμα δὲ καὶ
departure having-fallen-in they-be-destroyed together and also
μεμφόμενοι, ὅτι δὴ σφίσι χρόνου τὰς συντάξεις πολλοῦ
blaming that indeed to-them of-time the pay much
τὸ Ῥωμαίων δημόσιον ὤφειλεν, ἅπαντες ἐθελούσιοι τῷ
the of-Romans treasury owed all willing with-the
Γότθων στρατῷ ἀνεμίγνυντο, πλήν γε δὴ ὅτι Παῦλός
of-Goths army mingled except at-least indeed that Paul
τε καὶ τῶν τις Ἰσαύρων, Μίνδης ὄνομα, Τουτίλᾳ ἐς
both and of-the (a)-certain Isaurians Mindes by-name to-Totila into
ὄψιν ἐλθόντες ἐς Βυζάντιον σφᾶς ἐδέοντο στεῖλαι.
sight having-come to Byzantium them begged to-send
παῖδάς τε γὰρ καὶ γυναῖκας σφίσιν ἐν γῇ τῇ πατρῴᾳ 36.27
children both for and wives for-them in land the ancestral
ἔφασκον εἶναι, ὧνπερ χωρὶς βιοτεύειν οὐχ οἷοί τε εἶναι.
they-said to-be whom-very without to-live not able — to-be
οὕσπερ ὁ Τουτίλας ἅτε ἀληθιζομένους ἀποδεξάμενος, 36.28
whom-very — Totila as speaking-the-truth having-accepted
ἐφοδίοις τε δωρησάμενος καὶ παραπομποὺς
with-provisions both having-presented(-them) and escorts
ξυμπέμψας ἀφῆκε. καὶ ἄλλοι μέντοι τοῦ Ῥωμαίων
having-sent-with(-them) let-go and others however of-the of-Romans
στρατοῦ, ὅσοι καταφυγόντες ἐς τὰ τῆς πόλεως ἱερὰ
army as-many-as having-fled to the of-the city sanctuaries
ἔτυχον, ἐς τριακοσίους ὄντες, τὰ πιστὰ λαβόντες Τουτίλᾳ
happened to three-hundred being the pledges having-received to-Totila
προσεχώρησαν.
went-over
Ῥώμην δὲ οὔτε καθελεῖν οὔτε ἀπολιπεῖν τὸ λοιπὸν 36.29
Rome and neither to-pull-down nor to-abandon the rest
Τουτίλας ἤθελεν, ἀλλὰ Γότθους τε καὶ Ῥωμαίους τοὺς
Totila wished but Goths both and Romans the(-ones)

ἐκ τῆς συγκλήτου βουλῆς καὶ τοὺς ἄλλους ἅπαντας
from the senatorial council and the others all
ξυνοικίζειν ἐνταῦθα ἔγνω ἐξ αἰτίας τοιᾶσδε.
to-settle there he-resolved from cause such

37.1 Τουτίλας οὐ πολλῷ πρότερον παρὰ τῶν Φράγγων τὸν
Totila not much before to of-the Franks the
ἄρχοντα πέμψας, τὴν παῖδά οἱ γυναῖκα ἐδεῖτο γαμετὴν
ruler having-sent the daughter to-him (as)-wife asked wedded
δοῦναι.
to-give

37.2 ὁ δὲ τὴν αἴτησιν ἀπεσείσατο, Ἰταλίας αὐτὸν οὔτε εἶναι
he and the request shook-off of-Italy him neither to-be
οὔτε ἔσεσθαί ποτε βασιλέα φάσκων, ὅς γε Ῥώμην
nor would-be ever king saying who at-least Rome
ἑλὼν ἔχεσθαι μὲν αὐτῆς οὐδαμῇ ἴσχυσε, μοῖραν δὲ
having-taken to-hold indeed it in-no-way was-able (a)-part and
αὐτῆς καθελὼν τοῖς πολεμίοις μεθῆκεν αὖθις.
of-it having-pulled-down to-the enemies he-let-go again

37.3 διὸ δὴ τὰ ἐπιτήδεια ἐν τῷ παρόντι ἐς αὐτὴν
wherefore indeed the provisions in the present into it
ἐσκομίζεσθαι διὰ σπουδῆς εἶχε καὶ ἀνοικοδομεῖσθαι ὅτι
to-be-brought-in in haste he-had and to-be-rebuilt as
τάχιστα πάντα ἐκέλευεν, ὅσα καθελών τε καὶ
quickest all(-things) he-ordered as-much-as having-pulled-down both and
πυρπολήσας αὐτὸς ἔτυχεν, ἡνίκα Ῥώμην τὸ πρότερον εἶλε·
having-burned he happened when Rome the former(-time) he-took
τῶν τε Ῥωμαίων τοὺς ἐκ τῆς συγκλήτου βουλῆς καὶ
of-the both Romans the(-ones) from the senatorial council and
τοὺς ἄλλους ἅπαντας, οὕσπερ ἐπὶ Καμπανίας ἐφύλασσε,
the others all whom-very in Campania he-guarded
μετεπέμπετο.
he-summoned

ἐνταῦθά τε ἀγῶνα τὸν ἱππικὸν θεασάμενος, τὴν στρατιὰν 37.4
there both (the)-race the horse having-watched the army
ἡτοίμαζε πᾶσαν, ὡς ἐπὶ Σικελίαν στρατεύσων.
prepared all as against Sicily going-to-campaign
ἅμα δὲ καὶ τὰ μακρὰ πλοῖα τετρακόσια ὡς ἐς ναυμαχίαν 37.5
together and also the long boats four-hundred as for sea-battle
ἐν παρασκευῇ ἐποιεῖτο, καὶ στόλον νεῶν μεγάλων τε
in readiness made and (a)-fleet of-ships great both
καὶ πολλῶν ἄγαν, ἅσπερ ἐκ βασιλέως ἐκ τῆς ἑῴας
and many very which-very from (the)-emperor from the east
ἐνταῦθα σταλείσας αὐτοῖς ἀνδράσι τε καὶ φορτίοις
there sent with-the-very men both and cargoes
πάντα τοῦτον τὸν χρόνον ἑλὼν ἔτυχε.
all this the time having-taken he-happened
Στέφανόν τε ἄνδρα Ῥωμαῖον παρὰ βασιλέα πρεσβευτὴν 37.6
Stephen both (a)-man Roman to (the)-emperor (as)-envoy
ἔπεμψε, τὸν μὲν πόλεμον τόνδε καταλύειν αἰτῶν,
he-sent the indeed war this to-end asking
ἐνσπόνδους δὲ Γότθους ποιεῖσθαι, ἐφ' ᾧ δὴ αὐτῷ
treaty-partners and Goths to-make on which indeed to-him
ξυμμαχήσουσιν ἐπὶ πολεμίους τοὺς ἄλλους ἰόντι.
they-will-fight-alongside against enemies the others going
βασιλεὺς δὲ Ἰουστινιανὸς οὔτε τὸν πρεσβευτήν οἱ ἐς 37.7
(the)-emperor and Justinian neither the envoy to-him into
ὄψιν ἐλθεῖν ξυνεχώρησεν οὔτε τινὰ τῶν λεγομένων
sight to-come allowed nor any of-the(-things) said
ἐντροπὴν τὸ παράπαν πεποίηται.
regard at all made
ἅπερ ἐπεὶ Τουτίλας ἤκουσεν, αὖθις τὰ ἐς τὸν 37.8
which-very when Totila heard again the(-things) for the
πόλεμον ἐν παρασκευῇ ἐποιεῖτο. ξύμφορον δέ οἱ ἔδοξεν
war in readiness he-made advantageous and to-him it-seemed

εἶναι, Κεντουκελλῶν ἀποπειρασαμένῳ πρότερον οὕτω δὴ
to-be Centumcellae having-made-trial-of first thus indeed
ἐπὶ Σικελίαν ἰέναι.
against Sicily to-go

37.9 ἦρχε δὲ τότε τοῦ ἐνταῦθα φυλακτηρίου Διογένης, ὁ
commanded and then the there garrison Diogenes the
Βελισαρίου δορυφόρος, δύναμιν ἀξιόχρεων ξὺν αὐτῷ ἔχων.
of-Belisarius guard (a)-force considerable with himself having

37.10 καὶ ὁ μὲν Γότθων στρατός, ἐπειδὴ ἐς Κεντουκέλλας
and the indeed of-Goths army when to Centumcellae
ἀφίκοντο, ἄγχιστα τοῦ περιβόλου ἐνστρατοπεδευσάμενοι
they-arrived nearest the circuit-wall having-encamped
ἐς πολιορκίαν καθίσταντο.
into siege settled

37.11 πρέσβεις δὲ πέμψας παρὰ Διογένην ὁ Τουτίλας, αὐτόν
envoys and having-sent to Diogenes — Totila him
τε προὐκαλεῖτο καὶ τοὺς ἀμφ' αὐτὸν στρατιώτας, ἢν μὲν
both challenged and the about him soldiers if indeed
σφίσι βουλομένοις ᾖ μάχῃ πρὸς αὐτοὺς διακρίνεσθαι,
for-them wishing it-be by-battle against them to-decide
ἔργου ἔχεσθαι αὐτίκα δὴ μάλα.
task to-undertake at-once indeed very

37.12 ἐν ἐλπίδι τε παρήνει μηδεμιᾷ ἔχειν, δύναμιν ἑτέραν
in hope both he-urged(-them) none to-hold force other
τινὰ ἐκ βασιλέως σφίσιν ἀφίξεσθαι.
any from (the)-emperor to-them to-arrive

37.13 ἀδύνατον γὰρ Ἰουστινιανὸν τὸ λοιπὸν εἶναι πόλεμον πρὸς
impossible for (for)-Justinian the rest to-be (the)-war against
Γότθους τόνδε διενεγκεῖν, εἴ τῳ ἱκανὰ τεκμηριῶσαι
Goths this to-carry-on if for-anyone sufficient to-judge-from
τὰ χρόνου τοσούτου ἐπὶ τῆς Ῥώμης ξυμβάντα.
the(-things) of-time so-great at — Rome having-befallen

αἵρεσιν οὖν προὐτείνετο ἑλέσθαι ὁποτέραν ἂν αὐτοὶ 37.14
(a)-choice then he-proposed to-take whichever — they-themselves
βούλοιντο, ἢ ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τῷ Γότθων
might-wish either on the equal and like(-terms) with-the of-Goths
στρατῷ ἀναμίγνυσθαι, ἢ κακῶν ἀπαθέσιν ἐνθένδε
army to-mingle or of-evils unharmed from-there
ἀπαλλασσομένοις ἐπὶ Βυζαντίου κομίζεσθαι.
departing to Byzantium to-be-carried
Ῥωμαῖοι δὲ καὶ Διογένης οὔτε μάχῃ διακρίνεσθαι 37.15
Romans and and Diogenes neither by-battle to-decide
βουλομένοις σφίσιν αὐτοῖς ἔφασκον εἶναι οὔτε μέντοι
wishing for-them selves said to-be nor however
ἀναμίγνυσθαι τῷ Γότθων στρατῷ, ἐπεὶ παίδων τε καὶ
to-mingle with-the of-Goths army since of-children both and
γυναικῶν τῶν σφετέρων χωρὶς βιοτεύειν οὐκ ἂν δύναιντο.
wives the their-own without to-live not — they-could
πόλιν δέ, ἥσπερ φυλακὴν ἔχουσιν, ἐν μὲν τῷ παρόντι 37.16
(the)-city and of-which-very guard they-hold in indeed the present
λόγῳ τινὶ εὐπρεπεῖ ἐνδοῦναι οὐδαμῇ ἔχειν, ἐπεὶ οὐδέ
with-reason some seemly to-surrender in-no-way to-be-able since not-even
τις σκῆψις αὐτοῖς, ἄλλως τε καὶ παρὰ βασιλέα στέλλεσθαι
any pretext for-them especially — also to (the)-emperor to-be-sent
βουλομένοις, τανῦν πάρεστιν·
wishing now is-present
ἐς χρόνον δὲ ἀναβαλέσθαι τινὰ τὴν πρᾶξιν ἐδέοντο, ἐφ' 37.17
to time and to-put-off some the action they-begged on
ᾧ βασιλεῖ μὲν ἐν τούτῳ τὰ σφίσι παρόντα
which to-(the)-emperor indeed in this the(-things) for-them present
σημήνωσιν, οὐδεμιᾶς δὲ μεταξὺ βοηθείας ἐκ βασιλέως
they-may-signify no and in-between help from (the)-emperor
ἐνταῦθα ἰούσης οὕτω δὴ ἀπαλλάσσοιντο, Γότθοις μὲν
there coming thus indeed they-might-depart to-Goths indeed

τὴν πόλιν ἐνδόντες, οὐκ ἀπροφάσιστον δὲ αὐτοὶ
the city having-surrendered not without-excuse and they-themselves
τὴν ἀναχώρησιν ποιησάμενοι.
the withdrawal having-made

37.18 ταῦτα ἐπεὶ Τουτίλαν ἤρεσκε, τακτὴ ἡμέρα ξυνέκειτο,
these(-things) when Totila pleased (a)-fixed day was-agreed
ἄνδρες δὲ τριάκοντα ἑκατέρωθεν ἐν ὁμήρων λόγῳ ἐπὶ
men and thirty from-each-side in of-hostages account for
τῇ ὁμολογίᾳ δέδονται ταύτῃ καὶ Γότθοι τὴν προσεδρείαν
the agreement were-given this and Goths the siege
διαλύσαντες ἐπὶ Σικελίας ἐχώρησαν.
having-broken-up toward Sicily went

37.19 ἐπεὶ δὲ ἀφίκοντο ἐς τὸ Ῥήγιον, οὐ πρότερον διέβησαν τὸν
when and they-arrived at — Rhegium not before they-crossed the
τῇδε πορθμόν, ἕως φρουρίου τοῦ ἐν Ῥηγίῳ ἀπεπειράσαντο.
there strait until of-(the)-fortress the in Rhegium they-made-trial

37.20 ἦρχον δὲ τοῦ ἐνταῦθα φυλακτηρίου Θουριμούθ τε
commanded and the there garrison Thurimuth both
καὶ Ἱμέριος, οὕσπερ Βελισάριος ἐνταῦθα καταστησάμενος
and Himerius whom-very Belisarius there having-set
ἔτυχεν.
happened

37.21 οἵπερ ἐπεὶ πολλούς τε καὶ ἀρίστους ξὺν αὑτοῖς εἶχον,
who-very since many both and best with themselves they-had
τειχομαχοῦντάς τε ἀπεκρούσαντο τοὺς πολεμίους καὶ
assaulting-the-wall both they-repulsed the enemies and
ἐπεξελθόντες τὸ πλέον ἐν ξυμβολῇ ἔσχον.
having-sallied the better in engagement had

ὕστερον μέντοι πλήθει τῶν ἐναντίων παρὰ πολὺ 37.22
later however in-number than-the opponents by much
ἐλασσούμενοι ἐντὸς τοῦ περιβόλου κατακλεισθέντες
being-inferior within the circuit-wall shut-in
ἡσύχαζον.
kept-quiet
Τουτίλας δὲ μοῖραν μὲν τοῦ Γότθων στρατοῦ αὐτοῦ 37.23
Totila and (a)-part indeed of-the of-Goths army there
εἴασε φρουρᾶς ἕνεκα, τῶν ἐπιτηδείων τῇ ἀπορίᾳ χρόνῳ
left of-guard for-the-sake of-the provisions by-the want in-time
ὑστέρῳ ἐξαιρήσειν καραδοκῶν τοὺς ταύτῃ Ῥωμαίους, ἐς
later to-take expecting the there Romans to
δὲ Ταραντηνοὺς στράτευμα πέμψας τὸ ἐκείνῃ φρούριον
and Tarentines army having-sent the there fortress
παρεστήσατο οὐδενὶ πόνῳ, καὶ Γότθοι δέ, οὕσπερ ἐλίπετο ἐν
reduced with-no toil and Goths too whom-very he-had-left in
Πικηνῶν τῇ χώρᾳ, πόλιν Ἀρίμινον τηνικάδε προδοσίᾳ εἷλον.
of-Picenes the land (the)-city Ariminum at-that-time by-treachery took
Ταῦτα ἀκούσας Ἰουστινιανὸς βασιλεὺς Γερμανὸν τὸν 37.24
these(-things) having-heard Justinian emperor Germanus the
ἀνεψιὸν τὸν αὑτοῦ αὐτοκράτορα ἐβούλευσε πολέμου τοῦ
nephew the his-own (as)-autocrat planned of-(the)-war the
πρὸς Γότθους τε καὶ Τουτίλαν καταστήσασθαι, καί οἱ
against Goths both and Totila to-appoint and to-him
ἐν παρασκευῇ ἐπέστελλεν εἶναι· ἐπεί τε ὁ περὶ τούτου
in readiness he-enjoined to-be when both the about this
λόγος ἐς Ἰταλίαν ἦλθε, Γότθοι μὲν ἐν φροντίδι μεγάλῃ
report to Italy came Goths indeed in anxiety great
ἐγένοντο. δεξιὰ γάρ τις ἡ ἀμφὶ Γερμανῷ δόξα ἐς
were favorable for some the about Germanus reputation among
πάντας ἀνθρώπους οὖσα ἐτύγχανεν.
all men being happened

37.25 εὐέλπιδες δὲ Ῥωμαῖοί τε γεγενημένοι εὐθὺς ἅπαντες καὶ
hopeful and Romans both having-become at-once all and
οἱ τοῦ βασιλέως στρατοῦ τῷ τε κινδύνῳ καὶ τῇ
the(-ones) of-the of-(the)-emperor army the both danger and the
ταλαιπωρίᾳ πολλῷ ἔτι μᾶλλον ἀντεῖχον.
hardship much still more withstood

37.26 ἀλλὰ βασιλεὺς οὐκ οἶδα ὅπως μεταμαθὼν Λιβέριον
but (the)-emperor not I-know how having-changed-his-mind Liberius
ἄνδρα Ῥωμαῖον, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις
(a)-man Roman whom-very in the earlier accounts
ἐμνήσθην, ἐς τὸ ἔργον καταστήσασθαι ἀντὶ Γερμανοῦ
I-mentioned to the work to-appoint instead-of Germanus
ἔγνω.
resolved

37.27 καὶ ὁ μὲν παρασκευασάμενος ὡς τάχιστα, ὅτι δὴ
and he indeed having-prepared as quickest that indeed
αὐτίκα ξὺν στρατῷ ἀποπλεύσει, ἐπίδοξος ἦν. ἀλλ' ἐπεὶ
at-once with army he-will-sail-away expected was but since
βασιλεῖ μετέμελεν αὖθις, ἡσυχῇ καὶ αὐτὸς ἔμενε.
to-(the)-emperor it-repented again quietly also he remained

37.28 τότε δὴ Βῆρος ξὺν ἀνδράσιν, οὓς ἀγείρας μαχιμωτάτους
then indeed Verus with men whom having-gathered most-warlike
ἀμφ' αὑτὸν ἔτυχε, Γότθοις τοῖς ἐν Πικηνῷ οὖσιν ἐς
about himself he-happened with-Goths the(-ones) in Picenum being to
χεῖρας ἐλθὼν πόλεως Ῥαβέννης οὐ πολλῷ ἄποθεν,
hands having-come from-(the)-city of-Ravenna not much away
τῶν τε ἑπομένων πολλοὺς ἀποβάλλει καὶ αὐτὸς
of-the(-men) both following many loses and he
θνήσκει, ἀνὴρ ἀγαθὸς ἐν τῷ πόνῳ τούτῳ γενόμενος.
dies (a)-man good in the toil this having-proved

Ὑπὸ τοῦτον τὸν χρόνον στράτευμα Σκλαβηνῶν οὐ πλέον 38.1
about this the time army of-Sclaveni not more
ἢ ἐς τρισχιλίους ἀγηγερμένοι, ποταμόν τε Ἴστρον,
than to three-thousand gathered (the)-river both Ister
οὐδενὸς σφίσιν ἀντιστατοῦντος, διέβησαν, καὶ πόνῳ οὐδενὶ
no-one them opposing crossed and with-toil no
ποταμὸν Εὖρον εὐθὺς διαβάντες δίχα ἐγένοντο.
(the)-river hebrus at-once having-crossed in-two became
εἶχε δὲ αὐτῶν ἀτέρα μὲν συμμορία ὀκτακοσίους τε καὶ 38.2
had and of-them the-one indeed company eight-hundred both and
χιλίους, ἡ δὲ δὴ ἑτέρα τοὺς καταλοίπους.
thousand the and indeed other the remainder
ἑκατέροις μὲν οὖν καίπερ ἀλλήλων ἀπολελειμμένοις 38.3
with-each indeed then although from-one-another separated
ἐς χεῖρας ἐλθόντες οἱ τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες
to hands having-come the of-the of-Romans army commanders
ἔν τε Ἰλλυριοῖς καὶ Θρᾳξίν, ἡσσήθησάν τε ἐκ τοῦ
in both Illyrians and Thracians were-defeated both out-of the
ἀπροσδοκήτου καὶ οἱ μὲν αὐτοῦ διεφθάρησαν, οἱ δὲ
unexpected and the indeed there were-destroyed the and
κόσμῳ οὐδενὶ διαφυγόντες ἐσώθησαν.
in-order no having-escaped were-saved
ἐπεὶ δὲ οἱ στρατηγοὶ πάντες οὕτω παρ᾽ ἑκατέρων τῶν 38.4
when and the generals all thus from each of-the
βαρβαρικῶν στρατοπέδων, καίπερ ἐλασσόνων παρὰ πολὺ
barbarian armies although fewer by much
ὄντων, ἀπήλλαξαν, Ἀσβάδῳ ἡ ἑτέρα τῶν πολεμίων
being had-come-off with-Asbadus the other of-the enemies
ξυμμορία ξυνέμιξεν.
company engaged

38.5 ἦν δὲ οὗτος ἀνὴρ βασιλέως μὲν Ἰουστινιανοῦ δορυφόρος,
was and this (a)-man of-(the)-emperor indeed Justinian guard
ἐπεὶ ἐς τοὺς Κανδιδάτους καλουμένους τελῶν ἔτυχε,
since among the Candidati called belonging he-happened
τῶν δὲ ἱππικῶν καταλόγων ἦρχεν, οἳ ἐν Τζουρουλῷ
of-the and cavalry companies commanded which in Tzurulum
τῷ ἐν Θρᾴκῃ φρουρίῳ ἐκ παλαιοῦ ἵδρυνται, πολλοί τε
the in Thrace fortress from of-old are-stationed many both
καὶ ἄριστοι ὄντες.
and best being

38.6 καὶ αὐτοὺς οἱ Σκλαβηνοὶ τρεψάμενοι οὐδενὶ πόνῳ
and them the Sclaveni having-routed with-no toil
πλείστους μὲν αἰσχρότατα φεύγοντας ἔκτειναν, Ἄσβαδον
most indeed most-shamefully fleeing killed Asbadus
δὲ καταλαβόντες ἐν μὲν τῷ παραυτίκα ἐζώγρησαν,
and having-caught in indeed the instant took-alive
ὕστερον δὲ αὐτὸν ἐς πυρὸς ἐμβεβλημένον φλόγα ἔκαυσαν,
later and him into of-fire thrown (the)-flame burned
ἱμάντας πρότερον ἐκ τοῦ νώτου τοῦ ἀνθρώπου ἐκδείραντες.
straps first from the back of-the man having-flayed

38.7 ταῦτα διαπεπραγμένοι τὰ χωρία ξύμπαντα, τά τε
these(-things) having-accomplished the places all the both
Θρᾳκῶν καὶ Ἰλλυριῶν, ἀδεέστερον ἐληΐζοντο, καὶ φρούρια
of-Thracians and of-Illyrians more-fearlessly plundered and fortresses
πολλὰ πολιορκίᾳ ἑκάτεροι εἷλον, οὔτε τειχομαχήσαντες
many by-siege each took neither having-assaulted-walls
πρότερον, οὔτε ἐς τὸ πεδίον καταβῆναι τολμήσαντες,
before nor into the plain to-come-down having-dared
ἐπεὶ οὐδὲ γῆν τὴν Ῥωμαίων καταθεῖν ἐγκεχειρήκασι
since not-even (the)-land the of-Romans to-overrun had-attempted
οἱ βάρβαροι οὗτοι πώποτε.
the barbarians these ever

οὐ μὴν οὐδὲ στρατῷ ποταμὸν Ἴστρον φαίνονται 38.8
not indeed not-even with-army (the)-river Ister appear
διαβεβηκότες ἐκ τοῦ παντὸς χρόνου, πλήν γε δὴ ἐξ
having-crossed from the whole time except at-least indeed from
ὅτου μοι ἔμπροσθεν εἴρηται.
when by-me before has-been-said
Οὗτοι δὲ οἱ τὸν Ἄσβαδον νενικηκότες μέχρι 38.9
these and the(-ones) — Asbadus having-conquered as-far
ἐς θάλασσαν ληϊσάμενοι ἐφεξῆς ἅπαντα καὶ πόλιν
to (the)-sea having-plundered in-order all and (a)-city
ἐπιθαλασσίαν τειχομαχήσαντες εἷλον, καίπερ στρατιωτῶν
seaside having-assaulted-the-wall took although of-soldiers
φρουρὰν ἔχουσαν, Τόπηρον ὄνομα· ἥ πρώτη μὲν
(a)-garrison having Toperus by-name which first indeed
Θρᾳκῶν τῶν παραλίων ἐστί, τοῦ δὲ Βυζαντίου διέχει
of-Thracians the coastal is — and from-Byzantium is-distant
ὁδῷ ἡμερῶν δυοκαίδεκα.
by-road of-days twelve
εἷλον δὲ αὐτὴν τρόπῳ τοιῷδε. οἱ μὲν πλεῖστοι ἐν 38.10
they-took and it in-(a)-manner such the indeed most in
δυσχωρίαις πρὸ τοῦ περιβόλου σφᾶς αὐτοὺς ἔκρυψαν, ὀλίγοι
rough-places before the circuit-wall them selves hid few
δέ τινες ἀμφὶ τὰς πύλας γενόμενοι, αἳ πρὸς ἀνίσχοντά
and some about the gates having-come which toward rising
εἰσιν ἥλιον, τοὺς ἐν ταῖς ἐπάλξεσι Ῥωμαίους ἠνώχλουν.
are sun the(-ones) on the battlements Romans harassed
ὑποτοπήσαντες δὲ οἱ στρατιῶται, ὅσοι τὸ ἐνταῦθα 38.11
having-supposed and the soldiers as-many-as the there
φυλακτήριον εἶχον, οὐ πλείους αὐτοὺς ἢ ὅσοι
garrison held not more them than as-many-as

καθεωρῶντο εἶναι, ἀνελόμενοι αὐτίκα τὰ ὅπλα ἐξίασιν
were-seen to-be having-taken-up at-once the arms go-out
ἐπ᾽ αὐτοὺς ἅπαντες.
against them all

38.12 οἱ δὲ βάρβαροι ὀπίσω ἀνέστρεφον, δόκησιν παρεχόμενοι
the and barbarians back turned (an)-impression giving
τοῖς ἐπιοῦσιν ὅτι δὴ αὐτοὺς κατωρρωδηκότες ἐς
to-the(-ones) attacking that indeed them having-shrunk-in-fear into
ὑπαγωγὴν χωροῦσι· καὶ οἱ Ῥωμαῖοι ἐς τὴν δίωξιν
retreat they-go and the Romans into the pursuit
ἐκπεπτωκότες πόρρω που τοῦ περιβόλου ἐγένοντο.
having-been-carried-away far somewhere from-the circuit-wall came

38.13 ἀναστάντες οὖν οἱ ἐκ τῶν ἐνεδρῶν κατόπισθέν τε
having-risen then the(-ones) from the ambushes behind both
τῶν διωκόντων γενόμενοι ἐσιτητὰ σφίσιν ἐς τὴν πόλιν
the(-ones) pursuing having-come enterable for-them into the city
οὐκέτι ἐποίουν.
no-longer made(-it)

38.14 ἀναστρέψαντες δὲ καὶ οἱ φεύγειν δοκοῦντες ἀμφιβόλους
having-turned-back and also the(-ones) to-flee seeming caught-on-both-sides
ἤδη τοὺς Ῥωμαίους πεποίηνται. οὓς δὴ ἅπαντας οἱ
already the Romans made whom indeed all the
βάρβαροι διαφθείραντες τῷ περιβόλῳ προσέβαλον.
barbarians having-destroyed the circuit-wall attacked

38.15 οἱ δὲ τῆς πόλεως οἰκήτορες τῶν στρατιωτῶν τῆς
the and of-the city inhabitants of-the soldiers the
δυνάμεως ἐστερημένοι, γίνονται μὲν ἐν ἀμηχανίᾳ πολλῇ,
strength deprived become indeed in helplessness great
καὶ ὡς δὲ τοὺς ἐπιόντας ἐκ τῶν παρόντων ἠμύνοντο.
and so too the(-ones) attacking from the(-means) at-hand they-repelled

καὶ πρῶτα μὲν ἔλαιόν τε καὶ πίσσαν ἐπὶ πλεῖστον 38.16
and first indeed oil both and pitch to (the)-most
θερμήναντες τῶν τειχομαχούντων κατέχεον, καὶ λίθων
having-heated on-the(-ones) assaulting-the-wall they-poured and of-stones
βολαῖς πανδημεὶ ἐς αὐτοὺς χρώμενοι τοῦ ἀπεῶσθαι
with-throwings in-full-force against them using of-the to-have-thrust-off
τὸν κίνδυνον οὐ μακράν που ἐγένοντο.
the danger not far somewhere they-came
ἔπειτα δὲ αὐτοὺς πλήθει βελῶν οἱ βάρβαροι βιασάμενοι 38.17
then and them by-(a)-multitude of-missiles the barbarians having-forced
ἐκλιπεῖν τε τὰς ἐπάλξεις ἠνάγκασαν καὶ κλίμακας τῷ
to-abandon both the battlements compelled and ladders to-the
περιβόλῳ ἐρείσαντες κατὰ κράτος τὴν πόλιν εἷλον.
circuit-wall having-set-against by force the city took
ἄνδρας μὲν οὖν ἐς πεντακισχιλίους τε καὶ μυρίους εὐθὺς 38.18
men indeed then to five-thousand both and ten-thousand at-once
ἅπαντας ἔκτειναν καὶ πάντα τὰ χρήματα ἐληΐσαντο,
all killed and all the money plundered
παῖδας δὲ καὶ γυναῖκας ἐν ἀνδραπόδων πεποίηνται λόγῳ.
children and and women in of-slaves made account
καίτοι τὰ πρότερα οὐδεμιᾶς ἡλικίας ἐφείσαντο, ἀλλ' 38.19
and-yet the former(-times) no age they-spared but
αὐτοί τε καὶ ἡ συμμορία ἡ ἑτέρα, ἐξ ὅτου δὴ
they-themselves both and the company the other from when indeed
τῇ Ῥωμαίων ἐπέσκηψαν χώρᾳ, τοὺς παραπίπτοντας
upon-the of-Romans they-fell land the(-ones) falling-in-their-way
ἡβηδὸν ἅπαντας ἔκτεινον. ὥστε γῆν ἅπασαν, ἥπερ
young-and-old all killed so-that land all which-very
Ἰλλυριῶν τε καὶ Θρᾳκῶν ἐστί, νεκρῶν ἔμπλεων ἐπὶ
of-Illyrians both and of-Thracians is of-corpses full to
πλεῖστον ἀτάφων γενέσθαι.
(the)-most unburied to-become

38.20 ἔκτεινον δὲ τοὺς παραπίπτοντας οὔτε ξίφει οὔτε
they-killed and the(-ones) falling-in-their-way neither with-sword nor
δόρατι οὔτε τῳ ἄλλῳ εἰωθότι τρόπῳ, ἀλλὰ σκόλοπας
with-spear nor by-some other customary way but stakes
ἐπὶ τῆς γῆς πηξάμενοι ἰσχυρότατα, ὀξεῖς τε αὐτοὺς ἐς
in the ground having-fixed most-firmly sharp both them in
τὰ μάλιστα ποιησάμενοι, ἐπὶ τούτων ξὺν βίᾳ πολλῇ τοὺς
the most having-made upon these with force much the
δειλαίους ἐκάθιζον, τήν τε σκολόπων ἀκμὴν γλουτῶν κατὰ
wretches they-seated the both of-stakes point of-buttocks along
μέσον ἐνείροντες ὠθοῦντές τε ἄχρι ἐς τῶν ἀνθρώπων
(the)-middle inserting thrusting both as-far to of-the men
τὰ ἔγκατα, οὕτω δὴ αὐτοὺς διαχρήσασθαι ἠξίουν.
the bowels thus indeed them to-make-away-with they-thought-fit
38.21 καὶ ξύλα δὲ παχέα τέτταρα ἐπὶ πλεῖστον ἐς γῆν
and timbers too thick four to (the)-most into (the)-ground
κατορύξαντες οἱ βάρβαροι οὗτοι, ἐπ᾽ αὐτῶν τε χεῖράς τε
having-sunk the barbarians these upon them both hands both
καὶ πόδας τῶν ἡλωκότων δεσμεύοντες, εἶτα ῥοπάλοις
and feet of-the(-ones) captured binding then with-clubs
αὐτοὺς κατὰ κόρρης ἐνδελεχέστατα παίοντες, ὡς δὴ
them on (the)-temple most-persistently striking as indeed
κύνας ἢ ὄφεις ἢ ἄλλο τι θηρίον διέφθειρον.
dogs or snakes or other some beast they-destroyed
38.22 ἄλλους δὲ ξύν τε βουσὶ καὶ προβάτοις, ὅσα δὴ
others and with both cattle and sheep as-many-as indeed
ἐπάγεσθαι ἐς τὰ πάτρια ἤθη ὡς ἥκιστα εἶχον, ἐν
to-drive to the ancestral haunts as least they-were-able in
τοῖς δωματίοις καθείρξαντες, οὐδεμιᾷ φειδοῖ ἐνεπίμπρασαν.
the rooms having-shut-up with-no sparing they-burned
οὕτω μὲν Σκλαβηνοὶ τοὺς ἐντυχόντας ἀεὶ ἀνῄρουν.
thus indeed Sclaveni the(-ones) meeting(-them) always killed

ἀλλὰ νῦν αὐτοί τε καὶ οἱ τῆς ἑτέρας συμμορίας, 38.23
but now they-themselves both and the(-ones) of-the other company
ὥσπερ τῷ τῶν αἱμάτων μεθύοντες πλήθει, ζωγρεῖν
as with-the of-the bloods drunk multitude to-take-alive
τὸ ἐνθένδε ἠξίουν τῶν παραπεπτωκότων τινάς,
the from-then they-thought-fit of-the(-ones) falling-in-their-way some
καὶ ἀπ᾽ αὐτοῦ μυριάδας αἰχμαλώτων ἐπαγόμενοι ἀριθμοῦ
and from it myriads of-captives bringing than-number
κρείσσους ἐπ᾽ οἴκου ἀπεκομίσθησαν ἅπαντες.
greater to home were-carried all

XIII · GERMANUS

The Goths take Rhegium and ravage Sicily. Justinian sends Liberius, then Artabanes, and names Germanus commander, who marries Matasuntha and raises a large army; Goths and deserters waver. The Sclaveni, fearing him, turn to Dalmatia, but Germanus dies at Sardica. Artabanes is storm-driven to Melita, Totila leaves Sicily on Spinus' advice, and the Sclaveni defeat the Romans near Adrianople until one band is routed.

Ὕστερον δὲ Γότθοι τῷ Ῥηγίνων προσέβαλον ὀχυρώματι, 39.1
later and Goths the of-Rhegians attacked stronghold
οἱ δὲ πολιορκούμενοι καρτερώτατα σφᾶς ἀμυνόμενοι
the(-men) and besieged most-stoutly them defending
ἀπεκρούοντο, ἔργα τε ὁ Θουριμοὺθ ἐπεδείκνυτο ἀεὶ ἐς
repulsed(-them) deeds both — Thurimuth displayed always against
αὐτοὺς ἀρετῆς ἄξια.
them of-valor worthy
γνοὺς δὲ ὁ Τουτίλας ἐνδεῖν τοῖς πολιορκουμένοις 39.2
having-learned and — Totila to-be-lacking to-the(-ones) besieged
τὰ ἐπιτήδεια, μοῖραν μὲν τοῦ στρατοῦ αὐτοῦ εἴασε
the provisions (a)-part indeed of-the army there left

φυλακῆς ἕνεκα, ὅπως δὴ οἱ πολέμιοι μηδὲν μὲν τοῦ
of-guard for-the-sake so-that indeed the enemies nothing indeed for-the
λοιποῦ ἐσκομίζωνται, ἀπορίᾳ δὲ τῶν ἀναγκαίων σφᾶς
rest might-bring-in by-want and of-the necessities them
τε αὐτοὺς καὶ τὸ φρούριον Γότθοις ἐνδώσουσιν· αὐτὸς
both selves and the fortress to-Goths they-will-surrender he
δὲ τῷ ἄλλῳ στρατῷ ἐς Σικελίαν διαπορθμευσάμενος
and with-the other army to Sicily having-crossed
τῷ Μεσηνῶν προσέβαλε τείχει.
the of-Messanians attacked wall

39.3 καί οἱ Δομνεντίολος ὁ Βούζου ἀδελφιδοῦς, ὅσπερ τῶν
and him Domnentiolus the of-Buzes nephew who-very of-the
τῇδε Ῥωμαίων ἦρχεν, ὑπαντιάσας τε πρὸ τοῦ περιβόλου
there Romans commanded having-met both before the circuit-wall
καὶ ἐς χεῖρας ἐλθὼν οὐκ ἔλασσον ἔσχεν.
and to hands having-come not the-worse had

39.4 αὖθις δὲ ἐν τῇ πόλει γενόμενος φυλακῆς τε τῆς ἐνταῦθα
again and in the city having-come of-guard both the there
ἐπιμελούμενος ἡσυχίαν ἦγε. Γότθοι δέ, μηδενὸς σφίσιν
taking-care quiet kept Goths and no-one them
ἐπεξιόντος, ἐληΐσαντο Σικελίαν σχεδόν τι ὅλην.
sallying-against plundered Sicily nearly somewhat whole

39.5 Ῥωμαῖοι δὲ οἱ ἐν Ῥηγίῳ πολιορκούμενοι, ὧν δὴ
Romans and the(-ones) in Rhegium besieged whom indeed
Θουριμούθ τε καὶ Ἰμέριος ἦρχον, ὥσπερ μοι εἴρηται,
Thurimuth both and Himerius commanded as by-me has-been-said
τὰ γὰρ ἀναγκαῖα σφᾶς παντάπασιν ἐπελελοίπει, αὐτούς
the for necessities them altogether had-failed themselves
τε καὶ τὸ φρούριον ὁμολογίᾳ τοῖς πολεμίοις ἐνέδοσαν.
both and the fortress by-agreement to-the enemies surrendered

Ἅπερ ἐπεὶ βασιλεὺς ἤκουσε, στόλον τε ἀγείρας νηῶν 39.6
which-very when (the)-emperor heard (a)-fleet both having-gathered of-ships
καὶ στράτευμα λόγου ἄξιον ἐκ καταλόγων πεζῶν ἐν
and army of-account worthy from companies of-foot-soldiers in
τῷ στόλῳ τούτῳ ἐνθέμενος, ἄρχοντά τε Λιβέριον αὐτοῖς
the fleet this having-put commander both Liberius over-them
ἐπιστήσας, πλεῖν κατὰ τάχος ἐπὶ Σικελίας ἐκέλευσε, καὶ
having-set to-sail with speed toward Sicily ordered and
τὴν νῆσον διασώσασθαι δυνάμει τῇ πάσῃ.
the island to-save with-power the all
ἀλλά οἱ ἄρχοντα τοῦ στόλου καταστησαμένῳ Λιβέριον 39.7
but to-him (as)-commander of-the fleet having-appointed Liberius
αὐτίκα δὴ μάλα μετέμελεν. ἦν γὰρ ἐσχατογέρων τε ὁ
at-once indeed very it-repented was for very-old both the
ἀνὴρ μάλιστα καὶ ἀμελέτητος πολεμίων ἔργων.
man most and unpracticed of-warlike deeds
Ἀρταβάνῃ τε ἀφεὶς τὰ ἐς αὐτὸν ἐγκλήματα 39.8
to-Artabanes both having-remitted the against him charges
πάντα καὶ στρατηγὸν καταλόγων τῶν ἐπὶ Θρᾴκης
all and (as)-general of-companies of-the in Thrace
καταστησάμενος ἐς Σικελίαν εὐθὺς ἔπεμψε, στράτευμα μὲν
having-appointed(-him) to Sicily at-once sent army indeed
οὐ πολὺ παρασχόμενος, ἐπιστείλας δὲ τὸν ξὺν τῷ Λιβερίῳ
not great having-supplied having-enjoined and the with — Liberius
παραλαβεῖν στόλον, ἐπεὶ Λιβέριον ἐς Βυζάντιον μετεπέμπετο.
to-take-over fleet since Liberius to Byzantium he-summoned
αὐτοκράτορα δὲ τοῦ πρὸς Τουτίλαν τε καὶ Γότθους 39.9
(as)-autocrat and of-the against Totila both and Goths
πολέμου Γερμανὸν κατεστήσατο τὸν αὑτοῦ ἀνεψιόν.
war Germanus he-appointed the his-own nephew
ᾧ δὴ στράτευμα μὲν οὐ πολὺ ἔδωκε, χρήματα δὲ
to-whom indeed army indeed not great he-gave money and

λόγου ἄξια παρασχόμενος στρατιὰν ἐπέστελλεν ἔκ τε
of-account worthy having-supplied (an)-army he-enjoined from both
Θρᾳκῶν καὶ Ἰλλυριῶν ἀξιολογωτάτην ἀγείραντι οὕτω
Thracians and Illyrians most-notable having-gathered thus
δὴ στέλλεσθαι σπουδῇ ἐς τὴν Ἰταλίαν πολλῇ.
indeed to-be-sent with-haste to — Italy much

39.10 καί οἱ Φιλημούθ τε τὸν Ἔρουλον ξὺν τοῖς ἑπομένοις
and to-him Philemuth both the Erulian with the(-men) following
καὶ Ἰωάννην τὸν αὐτοῦ μὲν Γερμανοῦ κηδεστήν,
and John the of-himself indeed of-Germanus son-in-law
Βιταλιανοῦ δὲ ἀδελφιδοῦν (στρατηγὸς γὰρ ὢν τῶν ἐν
of-Vitalian and nephew general for being of-the in
Ἰλλυριοῖς καταλόγων διατριβὴν ἐνταῦθα εἶχε) ξὺν αὐτῷ
Illyrians companies (a)-stay there he-had with himself
ἐς τὴν Ἰταλίαν ἐπαγαγέσθαι ἐπήγγελλε.
to — Italy to-bring he-enjoined

39.11 Τότε δὴ Γερμανὸν φιλοτιμία πολλή τις ἔσχε, Γότθων
then indeed Germanus ambition great some held of-Goths
τὴν ἐπικράτησιν ἀναδήσασθαι, ὅπως οἱ Λιβύην τε καὶ
the mastery to-crown-himself-with so-that to-him Libya both and
Ἰταλίαν ἀνασώσασθαι περιέσται τῇ Ῥωμαίων ἀρχῇ.
Italy to-recover will-fall for-the of-Romans empire

39.12 Στότζα γὰρ τετυραννηκότος ἔν γε Λιβύῃ τὰ πρότερα
Stotzas for having-been-tyrant in at-least Libya the former(-times)
καὶ τὸ Λιβύης κράτος βεβαιότατα ἤδη ἔχοντος αὐτὸς
and the of-Libya power most-firmly already holding he
ἐκ βασιλέως σταλεὶς καὶ μάχῃ τοὺς στασιώτας παρὰ
from (the)-emperor sent and in-battle the rebels contrary-to
δόξαν νικήσας τήν τε τυραννίδα κατέπαυσε καὶ
expectation having-conquered the both tyranny stopped and

Λιβύην αὖθις ἀνεσώσατο τῇ Ῥωμαίων ἀρχῇ, ὥσπερ
Libya again recovered for-the of-Romans empire as
μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.
by-me in the earlier accounts was-said
καὶ νῦν δὲ τῶν Ἰταλίας πραγμάτων ἐς τοῦτο τύχης 39.13
and now too the of-Italy affairs to this of-fortune
ἐληλακότων, ἐς ὅ μοι ἔναγχος δεδιήγηται, μέγα δὴ
having-come to which by-me lately has-been-related great indeed
ἐνθένδε περιβαλέσθαι κλέος ἐβούλετο ἅτε δὴ καὶ αὐτὴν
from-there to-acquire glory he-wished as indeed also it
ἰσχύσας βασιλεῖ ἀνασώσασθαι.
having-been-able for-(the)-emperor to-recover
καὶ πρῶτα μὲν (ἐτετελευτήκει γάρ οἱ πολλῷ πρότερον ἡ 39.14
and first indeed had-died for to-him much before the
γυνὴ Πασσάρα ὄνομα) Ματασοῦνθαν ἐν γαμετῆς ἐποιήσατο
wife Passara by-name Matasuntha in of-wife he-made
λόγῳ, τὴν Ἀμαλασούνθης τῆς Θευδερίχου θυγατρὸς παῖδα,
account the of-Amalasuntha the of-Theoderic daughter child
Οὐιττίγιδος ἤδη ἐξ ἀνθρώπων ἀφανισθέντος.
Vittigis already from men having-vanished
ἤλπιζε γάρ, ἢν ξὺν αὐτῷ ἐν τῷ στρατοπέδῳ ἡ γυνὴ 39.15
he-hoped for if with him in the camp the wife
εἴη, αἰσχύνεσθαι, ὡς τὸ εἰκός, Γότθους ὅπλα ἐπ᾽
be to-be-ashamed as the likely Goths arms against
αὐτὴν ἀνελέσθαι, ἀναμνησθέντας τῆς Θευδερίχου τε καὶ
her to-take-up having-remembered the of-Theoderic both and
Ἀταλαρίχου ἀρχῆς.
of-Atalaric rule
ἔπειτα δὲ χρήματα μεγάλα τὰ μὲν ἐκ βασιλέως, τὰ 39.16
then and money great the indeed from (the)-emperor the
δὲ πλείω οἴκοθεν οὐδεμιᾷ φειδοῖ προϊέμενος στρατιὰν ἐκ
and more from-home with-no sparing giving-out (an)-army out-of

τοῦ ἀπροσδοκήτου πολλὴν ἀνδρῶν μαχιμωτάτων ἀγεῖραι
the unexpected great of-men most-warlike to-gather
δι᾽ ὀλίγου εὐπετῶς ἴσχυσε.
in short easily was-able

39.17 Ῥωμαῖοί τε γάρ, ἄνδρες ἀγαθοὶ τὰ πολέμια,
Romans both for men good in-the(-things) of-war
τῶν ἀρχόντων πολλούς, ὧν δὴ δορυφόροι τε καὶ
of-the commanders many of-whom indeed guards both and
ὑπασπισταὶ ἦσαν, ἐν ὀλιγωρίᾳ πεποιημένοι, Γερμανῷ
shield-bearers they-were in disregard having-made Germanus
εἵποντο, ἔκ τε Βυζαντίου καὶ τῶν ἐπὶ Θρᾴκης χωρίων καὶ
followed from both Byzantium and the toward Thrace places and
Ἰλλυριῶν οὐδέν τι ἧσσον, Ἰουστίνου τε καὶ Ἰουστινιανοῦ,
of-Illyrians nothing at-all less Justinus both and Justinian
τῶν αὐτοῦ παίδων, πολλὴν ἐνδειξαμένων περὶ ταῦτα
the his children great having-shown about these(-things)
σπουδήν, ἐπεὶ καὶ αὐτοὺς ἐπαγαγόμενος ἀπιὼν ᾤχετο.
zeal since also them bringing departing he-went-off

39.18 τινὰς δὲ καὶ ἐκ καταλόγων ἱππικῶν, οἳ ἐπὶ τῆς Θρᾴκης
some and also from companies cavalry which in — Thrace
ἵδρυντο, δόντος βασιλέως, ξυνέλεξε.
were-stationed giving (the)-emperor he-collected

39.19 καὶ βάρβαροι πολλοί, οἵπερ ἀμφὶ ποταμὸν Ἴστρον
and barbarians many who-very about (the)-river Ister
διατριβὴν εἶχον, κατὰ κλέος τοῦ Γερμανοῦ ἥκοντες καὶ
(a)-stay had because-of (the)-fame — of-Germanus having-come and
χρήματα πολλὰ κεκομισμένοι, ἀνεμίγνυντο τῷ Ῥωμαίων
money much having-received mingled with-the of-Romans
στρατῷ.
army

ἄλλοι τε βάρβαροι ἐκ πάσης ἀγειρόμενοι ξυνέρρεον 39.20
other both barbarians from all gathering streamed-together
γῆς. καὶ ὁ τῶν Λαγγοβαρδῶν ἡγούμενος ὁπλίτας χιλίους
land and the of-the Langobards leading hoplites thousand
ἐν παρασκευῇ πεποιημένος αὐτίκα δὴ μάλα ὑπέσχετο
in readiness having-made at-once indeed very promised
πέμψειν.
to-send
Τούτων δὴ καὶ πλειοτέρων ἐς τὴν Ἰταλίαν ἀγγελλομένων, 39.21
these indeed and more to — Italy reported
οἷα δὴ ἐξεργάζεσθαι εἴωθεν ἐς τὰ ἀνθρώπεια προϊοῦσα
such-as indeed to-work is-wont on the human(-things) advancing
ἡ φήμη, Γότθοι ἅμα μὲν ἔδεισαν, ἅμα δὲ καὶ ἐν
the rumor Goths together indeed feared together and also in
ἀπόρῳ ἐγένοντο, εἰ σφίσιν ἐς γένος τὸ Θευδερίχου
perplexity were whether for-them against (the)-race the of-Theoderic
πολεμητέα εἴη.
to-be-warred it-might-be
στρατιῶται δὲ Ῥωμαίων, ὅσοι Γότθοις ἐτύγχανον 39.22
soldiers and of-Romans as-many-as with-Goths happened
ἀκούσιοι ξυστρατεύοντες, ἄγγελον πέμψαντες Γερμανῷ
unwilling campaigning (a)-messenger having-sent to-Germanus
σημαίνειν ἐκέλευον ὡς, ἐπειδὰν τάχιστα ἐν Ἰταλίᾳ
to-signify ordered that when quickest in Italy
γενόμενον αὐτὸν ἴδοιεν, ἐνστρατοπεδευομένην τε τὴν
arrived him they-should-see encamped both the
αὐτοῦ στρατιάν, καὶ αὐτοὶ οὐδέν τι μελλήσαντες ξὺν
his army also they-themselves nothing at-all having-delayed with
ἐκείνοις τετάξονται πάντως.
those will-be-ranged surely

39.23 οἷς δὴ ἅπασι θαρσήσαντες οἱ τοῦ βασιλέως
in-which indeed all having-taken-courage the(-ones) of-the of-(the)-emperor
στρατοῦ ἔν τε Ῥαβέννῃ καὶ εἴ που ἄλλη πόλις σφίσι
army in both Ravenna and if somewhere other city to-them
λελεῖφθαι τετύχηκεν, εὐέλπιδες ἰσχυρότατα γεγενημένοι,
to-have-been-left had-happened hopeful most-strongly having-become
τὰ χωρία βασιλεῖ ἐς τὸ ἀκριβὲς φυλάσσειν ἠξίουν.
the places for-(the)-emperor to the exact to-guard thought-fit
39.24 ἀλλὰ καὶ ὅσοι ξὺν τῷ Βήρῳ τὰ πρότερα ἢ ἄλλοις
but also as-many-as with — Verus the former(-times) or others
τισὶ τοῖς πολεμίοις ἐς χεῖρας ἐλθόντες ἡσσημένοι τε τῶν
some the enemies to hands having-come defeated both by-the
ἐναντίων ἐν τῇ ξυμβολῇ διέφυγόν τε καὶ σκεδαννύμενοι
opponents in the engagement escaped both and scattering
περιῄεσαν, ὅπη ἑκάστῳ τετύχηκεν, ἐπειδὴ ὁδῷ ἰέναι
went-around where to-each it-had-happened when by-road to-go
Γερμανὸν ἤκουσαν, ἀθρόοι ἐν Ἰστρίᾳ γεγενημένοι, ἐνταῦθά
Germanus they-heard in-a-body in Istria having-gathered there
τε τὸ στράτευμα τοῦτο προσδεχόμενοι, ἡσυχῇ ἔμενον.
both the army this awaiting quietly remained
39.25 τότε δὴ ὁ Τουτίλας, ἡμέρα γὰρ ἡ ξυγκειμένη αὐτῷ τε καὶ
then indeed — Totila (the)-day for the agreed with-him both and
Διογένει ἀμφὶ Κεντουκέλλαις εἱστήκει, πέμψας παρ᾽ αὐτὸν
Diogenes about Centumcellae was-at-hand having-sent to him
ἐκέλευέν οἱ κατὰ τὰ ξυγκείμενα τὴν πόλιν ἐνδοῦναι.
ordered him according-to the(-things) agreed the city to-surrender
39.26 Διογένης δὲ τούτου δὴ κύριος ἔφασκεν αὐτὸς οὐκέτι εἶναι.
Diogenes and of-this indeed master said he no-longer to-be
ἀκηκοέναι γὰρ αὐτοκράτορα τοῦδε τοῦ πολέμου τὸν Γερμανὸν
to-have-heard for (as)-autocrat of-this the war — Germanus
καταστῆναί τε καὶ ξὺν τῷ στρατῷ οὐκ ἄποθεν εἶναι.
to-have-been-appointed both and with the army not far to-be

τῶν δὲ ὁμήρων βουλομένῳ οἱ αὐτῷ εἶναι τοὺς μὲν 39.27
of-the and hostages wishing to-him himself to-be the indeed
σφετέρους ἀπολαβεῖν, τοὺς δὲ πρὸς Γότθων σφίσι
their-own to-take-back the(-ones) and by Goths to-them
δεδομένους ἀποτινύναι.
given to-give-back
τούς τε σταλέντας ἀποπεμψάμενος τοῦ τῆς πόλεως 39.28
the(-men) both sent having-sent-away of-the of-the city
φυλακτηρίου ἐπεμελεῖτο, Γερμανόν τε καὶ τὸ ξὺν αὐτῷ
garrison he-took-care Germanus both and the with him
καραδοκῶν στράτευμα.
awaiting army
ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε, καὶ ὁ χειμὼν ἔληγε, 39.29
these(-things) indeed then were-done in-this-way and the winter was-ending
καὶ τὸ πέμπτον καὶ δέκατον ἔτος ἐτελεύτα τῷ πολέμῳ
and the fifth and tenth year ended for-the war
τῷδε, ὃν Προκόπιος ξυνέγραψε.
this which Procopius wrote
Γερμανοῦ δὲ τὸ στράτευμα ἐν Σαρδικῇ, τῇ Ἰλλυριῶν 40.1
Germanus and the army in Sardica the of-Illyrians
πόλει, ἀγείραντός τε καὶ διέποντος, ἅπαντά τε ἰσχυρότατα
city gathering both and organizing all both most-strongly
ἐξαρτυομένου τὰ ἐς τὴν τοῦ πολέμου παρασκευήν,
equipping the(-things) for the of-the war preparation
Σκλαβηνῶν ὅμιλος ὅσος οὔπω πρότερον ἀφίκετο ἐς
of-Sclaveni (a)-throng as-great-as never before arrived into
Ῥωμαίων τὴν γῆν. Ἴστρον τε ποταμὸν διαβάντες ἀμφὶ
of-Romans the land (the)-Ister both river having-crossed about
Νάϊσον ἦλθον.
Naissus they-came

40.2 ὧν δὴ ὀλίγους τινὰς ἀποσκεδασθέντας μὲν τοῦ
of-whom indeed few some scattered indeed from-the
στρατοπέδου, πλανωμένους δὲ καὶ κατὰ μόνας περιόντας
camp wandering and and by alone going-around
τὰ ἐκείνῃ χωρία τῶν τινες Ῥωμαίων καταλαβόντες τε καὶ
the there places of-the some Romans having-caught both and
ξυνδήσαντες ἀνεπυνθάνοντο ὅτου δὴ ἕνεκα οὗτος δὴ
having-bound inquired for-what indeed for-the-sake this indeed
ὁ τῶν Σκλαβηνῶν στρατὸς καὶ ὅ τι κατεργασόμενοι
the of-the Sclaveni army and what — going-to-accomplish
διέβησαν ποταμὸν Ἴστρον.
crossed (the)-river Ister

40.3 οἱ δὲ ἰσχυρίσαντο ὡς Θεσσαλονίκην τε αὐτὴν καὶ πόλεις
they and affirmed that Thessalonica both itself and (the)-cities
τὰς ἀμφ᾽ αὐτὴν πολιορκίᾳ ἐξαιρήσοντες ἥκοιεν. ἅπερ
the about it by-siege going-to-take they-had-come which-very
ἐπεὶ βασιλεὺς ἤκουσεν, ἄγαν τε ξυνεταράχθη καὶ πρὸς
when (the)-emperor heard very both he-was-confounded and to
Γερμανὸν εὐθὺς ἔγραψεν, ὁδὸν μὲν ἐν τῷ παραυτίκα
Germanus at-once wrote (the)-road indeed in the instant
τὴν ἐπὶ Ἰταλίαν ἀναβαλέσθαι, Θεσσαλονίκῃ δὲ καὶ πόλεσι
the to Italy to-put-off Thessalonica and and cities
ταῖς ἄλλαις ἀμῦναι, καὶ τὴν Σκλαβηνῶν ἔφοδον ὅση
the other to-defend and the of-Sclaveni attack as-much-as
δύναμις ἀποκρούσασθαι. καὶ Γερμανὸς μὲν ἀμφὶ ταῦτα
power(-allows) to-repel and Germanus indeed about these(-things)
διατριβὴν εἶχε.
(a)-stay had

40.4 Σκλαβηνοὶ δὲ γνόντες διαρρήδην πρὸς τῶν αἰχμαλώτων
Sclaveni and having-learned clearly from the captives
Γερμανὸν ἐν Σαρδικῇ εἶναι ἐς δέος ἦλθον.
Germanus in Sardica to-be into fear came

μέγα γὰρ ὄνομα ἐς τούτους δὴ τοὺς βαρβάρους ὁ 40.5
great for (a)-name among these indeed the barbarians —
Γερμανὸς εἶχεν ἐξ αἰτίας τοιᾶσδε. ἡνίκα Ἰουστινιανὸς ὁ
Germanus had from cause such when Justinian the
Γερμανοῦ θεῖος τὴν βασιλείαν εἶχεν, Ἄνται, οἳ Σκλαβηνῶν
of-Germanus uncle the empire held Antae who to-Sclaveni
ἄγχιστα ᾤκηνται, Ἴστρον ποταμὸν διαβάντες στρατῷ
nearest dwell (the)-Ister river having-crossed with-army
μεγάλῳ ἐσέβαλον ἐς Ῥωμαίων τὴν γῆν.
great invaded into of-Romans the land
ἐτύγχανε δὲ Γερμανὸν βασιλεὺς Θρᾴκης ὅλης στρατηγὸν 40.6
happened and Germanus (the)-emperor of-Thrace whole general
καταστησάμενος οὐ πολλῷ πρότερον. ὃς δὴ ἐς χεῖρας
having-appointed not much before who indeed to hands
ἐλθὼν τῷ τῶν πολεμίων στρατῷ κατὰ κράτος τε μάχῃ
having-come with-the of-the enemies army by force both in-battle
νικήσας σχεδόν τι ἅπαντας ἔκτεινε, κλέος τε μέγα ἐκ
having-conquered nearly somewhat all killed glory both great from
τοῦ ἔργου τούτου ὁ Γερμανὸς ἐς πάντας ἀνθρώπους καὶ
the deed this — Germanus among all men and
διαφερόντως ἐς τούτους δὴ τοὺς βαρβάρους περιεβάλετο.
exceedingly among these indeed the barbarians acquired
δειμαίνοντες οὖν αὐτόν, ὥσπερ μοι εἴρηται, Σκλαβηνοί, 40.7
fearing then him as by-me has-been-said Sclaveni
ἅμα δὲ καὶ δύναμιν ἀξιολογωτάτην αὐτὸν ἐπάγεσθαι
together and also (a)-force most-notable him to-bring
οἰόμενοι ἅτε πρὸς βασιλέως στελλόμενον ἐπὶ Τουτίλαν τε
thinking as by (the)-emperor being-sent against Totila both
καὶ Γότθους, ὁδοῦ μὲν εὐθὺς τῆς ἐπὶ Θεσσαλονίκην
and Goths from-(the)-road indeed at-once the to Thessalonica
ἀπέσχοντο, ἐς δὲ τὸ πεδίον καταβῆναι οὐκέτι ἐτόλμων,
kept-away to and the plain to-come-down no-longer dared

ἀλλὰ ξύμπαντα τὰ ὄρη τὰ Ἰλλυριῶν διαμείψαντες ἐν
but all the mountains the of-Illyrians having-crossed in
Δαλματίᾳ ἐγένοντο.
Dalmatia came

40.8 ὧν δὴ ὁ Γερμανὸς ἀφροντιστήσας πάσῃ ἐπήγγελλε
of-whom indeed — Germanus having-become-careless to-all enjoined
τῇ στρατιᾷ ξυσκευάζεσθαι, ὡς ἡμέραιν δυοῖν ὕστερον
the army to-pack-up as on-days two later
ὁδοῦ ἐνθένδε τῆς ἐπὶ τὴν Ἰταλίαν ἀρξόμενος.
of-(the)-road from-here the to — Italy going-to-begin

40.9 ἀλλά τις αὐτῷ ξυνέπεσε τύχη νοσήσαντι ἐξαπιναίως
but some to-him befell fortune having-fallen-ill suddenly
τὸν βίον διαμετρήσασθαι. εὐθυωρόν τε ὁ Γερμανὸς ἐξ
the life to-measure-out at-once both — Germanus from
ἀνθρώπων ἠφάνιστο, ἀνὴρ ἀνδρεῖός τε καὶ δραστήριος ἐς
men had-vanished (a)-man brave both and energetic in
τὰ μάλιστα, ἐν μὲν τῷ πολέμῳ στρατηγός τε ἄριστος
the most in indeed the war general both best
καὶ αὐτουργὸς δεξιός, ἐν δὲ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασι
and executor skillful in and peace and good affairs
τά τε νόμιμα καὶ τὸν τῆς πολιτείας κόσμον βεβαιότατα
the both laws and the of-the state order most-firmly
φυλάσσειν ἐξεπιστάμενος, δικάσας μὲν ὀρθότατα πάντων
to-keep knowing-well having-judged indeed most-rightly of-all
μάλιστα, χρήματα δὲ τοῖς δεομένοις ἅπασι δεδανεικὼς
most money and to-the(-ones) in-need all having-lent
μεγάλα καὶ τόκον οὐδ' ὅσον λόγῳ κεκομισμένος
great and interest not-even as-much-as in-word having-received
πρὸς αὐτῶν πώποτε, ἐν Παλατίῳ μὲν καὶ τῇ ἀγορᾷ
from them ever in (the)-Palatium indeed and the market-place
ἐμβριθέστατός τε καὶ σοβαρὸς ἄγαν, ἑστιάτωρ δὲ καθ'
most-weighty both and haughty very host and by

ἡμέραν οἴκοι ἡδύς τε καὶ ἐλευθέριος καὶ ἐπίχαρις, οὐδέ
day at-home pleasant both and liberal and gracious nor
τι ἐν Παλατίῳ ἁμαρτάνεσθαι παρὰ τὰ εἰωθότα
anything in (the)-Palatium to-be-erred contrary-to the customary
ὅση δύναμις ξυγχωρῶν, οὐδὲ στασιώταις τοῖς ἐν
as-much-as power(-allowed) allowing nor with-partisans the in
Βυζαντίῳ τῆς βουλήσεως ἢ τῆς ὁμιλίας μεταλαχὼν
Byzantium of-the will or of-the company having-shared
πώποτε, καίπερ καὶ τῶν ἐν δυνάμει πολλῶν ἐς τοῦτο
ever although also of-the(-ones) in power many to this
ἀτοπίας ἐληλακότων. ταῦτα μὲν οὖν τῇδε κεχώρηκε.
of-outrageousness having-come these(-things) indeed then in-this-way have-gone
Βασιλεὺς δὲ τοῖς ξυμπεσοῦσι περιώδυνος γεγονὼς 40.10
(the)-emperor and at-the(-things) having-befallen very-grieved having-become
Ἰωάννην ἐκέλευε, τὸν Βιταλιανοῦ μὲν ἀδελφιδοῦν, Γερμανοῦ
John ordered the of-Vitalian indeed nephew of-Germanus
δὲ γαμβρόν, ξὺν Ἰουστινιανῷ θατέρῳ τοῖν Γερμανοῦ
and son-in-law with Justinian the-one of-the of-Germanus
παίδοιν τῷ στρατῷ τούτῳ ἐς τὴν Ἰταλίαν ἡγήσασθαι.
two-children the army this to — Italy to-lead
καὶ οἱ μὲν τὴν ἐπὶ Δαλματίας ᾔεσαν, ὡς ἐν 40.11
and they indeed the(-road) toward Dalmatia went as in
Σάλωσι διαχειμάσοντες, ἐπεὶ ἀδύνατα σφίσιν ᾤοντο εἶναι
Salones going-to-winter since impossible for-them they-thought to-be
τηνικάδε τοῦ καιροῦ περιιοῦσι τὴν τοῦ κόλπου περίοδον
at-that-time of-the season going-round the of-the gulf circuit
ἐς Ἰταλίαν κομίζεσθαι· διαπορθμεύεσθαι γὰρ νηῶν σφίσιν
to Italy to-be-carried to-cross for ships for-them
οὐ παρουσῶν ἀμήχανα ἦν.
not being-present impossible was

40.12 Λιβέριος δέ, οὔπω τι πεπυσμένος ὧνπερ βασιλεῖ
Liberius and not-yet anything having-learned of-what-very to-(the)-emperor
ἀμφὶ τῷ στόλῳ τούτῳ μετέμελε, Συρακούσαις προσέσχε
about the fleet this it-repented at-Syracuse put-in
πολιορκουμέναις πρὸς τῶν πολεμίων.
being-besieged by the enemies
40.13 βιασάμενός τε τοὺς ταύτῃ βαρβάρους ἔς τε τὸν λιμένα
having-forced both the there barbarians into both the harbor
κατῆρε καὶ παντὶ τῷ στόλῳ ἐντὸς τοῦ περιβόλου ἐγένετο.
he-put-in and with-all the fleet within the circuit-wall came
40.14 καὶ Ἀρταβάνης δὲ οὐ πολλῷ ὕστερον ἐν Κεφαλωνίᾳ
and Artabanes too not much later in Cephalonia
γενόμενος, ἐπειδὴ τοὺς ἀμφὶ Λιβέριον ἤδη ἐνθένδε
having-come when the(-men) about Liberius already from-there
ἀναχθέντας ἐπὶ Σικελίας κεχωρηκέναι ἔγνω, ἄρας
having-put-out toward Sicily to-have-gone he-learned having-set-out
ἐνθένδε πέλαγος αὐτίκα τὸ Ἀδριατικὸν καλούμενον διέβη.
from-there (the)-sea at-once the Adriatic called crossed
40.15 ἐπεὶ δὲ Καλαβρῶν ἀγχοῦ ἐγένετο, χειμῶνός οἱ ἐξαισίου
when and to-Calabrians near he-came (a)-storm to-him extraordinary
ἐπιπεσόντος καὶ τοῦ πνεύματος σκληροῦ τε ὑπεράγαν
having-fallen-on and the wind harsh both exceedingly
ὄντος καὶ ἀπ᾽ ἐναντίας σφίσιν ἰόντος, οὕτως ἁπάσας
being and from opposite to-them going thus all
διασκεδάννυσθαι τὰς ναῦς ξυνηνέχθη, ὡς δοκεῖν ὅτι
to-be-scattered the ships it-befell so-as to-seem that
δὴ αἱ πολλαὶ ἐς τὴν Καλαβρίαν ἐξενεχθεῖσαι ὑπὸ τοῖς
indeed the many to — Calabria carried under the
πολεμίοις ἐγένοντο.
enemies came

οὐκ ἦν δὲ οὕτως, ἀλλὰ πρὸς τοῦ πνεύματος ξὺν βίᾳ 40.16
not was and thus but by the wind with force
πολλῇ διωθούμεναι ἀνέστρεφόν τε βιαζόμεναι ὑπερφυῶς
much being-driven turned-back both forced extraordinarily
καὶ αὖθις ἐν Πελοποννήσῳ ἐγένοντο. καὶ ταῖς ἄλλαις δέ,
and again in Peloponnese came and to-the others and
ὅπη παρατύχῃ, ἢ διεφθάρθαι ἢ διασεσῶσθαι τετύχηκε.
where it-chanced either to-have-been-destroyed or to-have-been-saved happened
ναῦς δὲ μία, ἐν ᾗ ἔπλει Ἀρταβάνης αὐτός, τοῦ ἱστοῦ 40.17
ship and one in which sailed Artabanes himself the mast
οἱ ἐν τῷ σάλῳ τούτῳ ἀποκοπέντος, ἐς τοσόνδε
to-it in the tossing this having-been-cut-away to so-great(-a-degree)
κινδύνου ἐλθοῦσα, πρός τε τοῦ ῥοθίου φερομένη καὶ τῷ
of-danger having-come by both the surge carried and the
κλύδωνι ἐπισπομένη Μελίτῃ προσέσχε τῇ νήσῳ. οὕτω μὲν
wave following at-Melita put-in the island thus indeed
Ἀρταβάνην διασεσῶσθαι ἐκ τοῦ ἀπροσδοκήτου ξυνέπεσε.
Artabanes to-have-been-saved out-of the unexpected befell
Λιβέριος δὲ οὔτε τοῖς πολιορκοῦσιν ἐπεξιέναι ἢ μάχῃ 40.18
Liberius and neither against-the(-ones) besieging to-sally or by-battle
πρὸς αὐτοὺς οἷός τε ὢν διακρίνεσθαι, καὶ τῶν ἐπιτηδείων
against them able — being to-decide and the provisions
σφίσιν ἅτε πολλοῖς οὖσιν ἐς πλείω χρόνον οὐδαμῇ
to-them as many being for more time in-no-way
διαρκούντων, ἄρας ἐνθένδε ξὺν τοῖς ἑπομένοις καὶ
sufficing having-set-out from-there with the(-men) following and
τοὺς πολεμίους λαθὼν ἐς Πάνορμον ἀπεχώρησε.
the enemies having-escaped-notice-of to Panormus withdrew
Τουτίλας δὲ καὶ Γότθοι σχεδόν τι ἅπαντα ληϊσάμενοι 40.19
Totila and and Goths nearly somewhat all having-plundered
τὰ ἐπὶ Σικελίας χωρία ἵππων μὲν ἐπαγόμενοι καὶ ζῴων
the in Sicily places of-horses indeed bringing and animals

ἄλλων μέγα τι χρῆμα, σῖτον δὲ καὶ τοὺς ἄλλους καρποὺς
other great some quantity grain and and the other crops
ἅπαντας ἐκ τῆς νήσου μετενεγκόντες καὶ πάντα τὰ
all from the island having-transferred and all the
χρήματα, μεγάλα κομιδῆ ὄντα, ἐν τοῖς πλοίοις ἐνθέμενοι,
money great quite being in the boats having-put
τήν τε νῆσον ἐξαπιναίως ἐξέλιπον καὶ ἐς τὴν Ἰταλίαν
the both island suddenly left and to — Italy
ἀνέστρεφον, τρόπῳ ὁρμώμενοι τοιῷδε.
returned in-(a)-manner setting-out such

40.20 τῶν τινα Ῥωμαίων, Σπῖνον ὄνομα, ἐκ Σπολιτίου
of-the (a)-certain Romans Spinus by-name from Spolitium
ὁρμώμενόν οἱ αὐτῷ πάρεδρον οὐ πολλῷ πρότερον
coming to-him himself (as)-assessor not much before
καταστησάμενος Τουτίλας ἔτυχεν.
having-appointed Totila happened

40.21 οὗτος ἀνὴρ ἐν πόλει Κατάνῃ, ἀτειχίστῳ οὔσῃ, διατριβὴν
this man in (the)-city Catana unwalled being (a)-stay
εἶχε. τύχη τέ τις αὐτῷ ξυνέβη ὑπὸ τοῖς πολεμίοις ἐνταῦθα
had chance both some to-him befell under the enemies there
γενέσθαι.
to-come

40.22 ὃν δὴ ῥύεσθαι ὁ Τουτίλας ἐπειγόμενος τῶν τινα
whom indeed to-rescue — Totila being-eager of-the some
ἐπιφανῶν γυναῖκα, αἰχμάλωτον οὖσαν, ἀφεῖναι Ῥωμαίοις
notable(-men) (a)-wife captive being to-release to-Romans
ἀντ᾽ αὐτοῦ ἤθελε.
in-exchange-for him wished

40.23 γυναῖκα δὲ Ῥωμαῖοι οὐδαμῇ ἐδικαίουν ἀνταλλάξασθαι
(a)-woman and Romans in-no-way thought-right to-exchange
ἀνδρὸς τὴν τοῦ καλουμένου κοιαίστωρος ἀρχὴν ἔχοντος.
for-(a)-man the of-the so-called quaestor office holding

δείσας οὖν ὁ ἀνὴρ μὴ παρὰ τοῖς πολεμίοις διαφθαρείη, 40.24
having-feared then the man lest among the enemies he-be-destroyed
ὡμολόγησε Ῥωμαίοις αὐτίκα Τουτίλαν ἀναπείσειν Σικελίας
agreed with-Romans at-once Totila to-persuade from-Sicily
μὲν ἀπανίστασθαι, παντὶ δὲ τῷ Γότθων στρατῷ ἐς
indeed to-withdraw with-all and the of-Goths army to
Ἰταλίαν διαπορθμεύσασθαι.
Italy to-cross
καὶ οἱ μὲν ὅρκοις αὐτὸν σφίσιν ἀμφὶ ταύτῃ τῇ ὁμολογίᾳ 40.25
and they indeed with-oaths him to-them about this the agreement
καταληφθέντα Γότθοις ἀπέδοσαν, ἀντ᾽ αὐτοῦ τὴν
bound to-Goths gave-back in-exchange-for him the
γυναῖκα κεκομισμένοι.
woman having-received
ὁ δὲ Τουτίλᾳ ἐς ὄψιν ἥκων οὐκ ἐπὶ τῷ σφετέρῳ 40.26
he and to-Totila into sight having-come not for the their-own
ξυμφόρῳ Γότθους ἔφασκε Σικελίαν ληϊσαμένους σχεδόν
advantage Goths said Sicily having-plundered nearly
τι ὅλην ὀλίγων τινῶν φρουρίων διατριβὴν ἐνταῦθα ἔχειν.
somewhat whole of-few some fortresses (a)-stay there to-have
ἔναγχος γὰρ ἰσχυρίζετο ἀκηκοέναι, ἡνίκα παρὰ τοῖς 40.27
lately for be-affirmed to-have-heard when among the
πολεμίοις ἐτύγχανεν ὤν, Γερμανὸν μὲν τὸν βασιλέως
enemies he-happened being Germanus indeed the of-(the)-emperor
ἀνεψιὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι, Ἰωάννην δὲ τὸν αὐτοῦ
nephew from men to-have-vanished John and the his
κηδεστὴν καὶ Ἰουστινιανὸν τὸν αὐτοῦ παῖδα παντὶ τῷ πρὸς
son-in-law and Justinian the his son with-all the by
Γερμανοῦ συλλεγέντι στρατῷ εἶναι μὲν ἤδη ἐν Δαλματίᾳ,
Germanus collected army to-be indeed already in Dalmatia
εὐθὺ δὲ Λιγουρίας αὐτίκα δὴ μάλα ξυσκευαζομένους
straight and Liguria at-once indeed very packing-up

ἐνθένδε χωρήσειν, ἐφ᾽ ᾧ δὴ Γότθων ἐξ ἐπιδρομῆς
from-there to-go on which indeed of-Goths by charge
παῖδάς τε καὶ γυναῖκας ἀνδραποδίσουσι καὶ χρήματα
children both and wives they-will-enslave and money
ληΐσονται πάντα, οἷσπερ ἡμᾶς ὑπαντιάζειν ἄμεινον ἂν
will-plunder all whom-very us to-meet better —
εἴη ἐν τῷ ἀσφαλεῖ ξὺν τοῖς οἰκείοις διαχειμάζοντας.
would-be in the safety with the own(-people) wintering

40.28 ἢν γὰρ ἐκείνων περιεσόμεθα, Σικελίας αὖθις ἅμα
if for those we-will-prevail-over Sicily again together-with
ἦρι ἀρχομένῳ παρέσται ἡμῖν ἀδεέστερον ἐπιβήσεσθαι
spring beginning it-will-be-possible for-us more-fearlessly to-land-on
πολέμιον οὐδὲν ἐν νῷ ἔχουσι.
hostile nothing in mind having

40.29 ταύτῃ ὁ Τουτίλας τῇ ὑποθήκῃ ἀναπεισθεὶς φρουροὺς
by-this — Totila the counsel having-been-persuaded guards
μὲν ἐν ὀχυρώμασι τέτρασιν εἴασεν, αὐτὸς δὲ ξύμπασαν
indeed in strongholds four left he and whole
τὴν λείαν ἐπαγόμενος παντὶ τῷ ἄλλῳ στρατῷ ἐς Ἰταλίαν
the booty bringing with-all the other army to Italy
διεπορθμεύσατο. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.
crossed these(-things) indeed then were-done in-this-way

40.30 Ἰωάννης δὲ καὶ ὁ βασιλέως στρατὸς ἀφικόμενοι ἐς
John and and the of-(the)-emperor army having-come in
Δαλματίαν ἐν Σάλωσι διαχειμάζειν ἔγνωσαν, ἐνθένδε
Dalmatia in Salones to-winter resolved from-there
μετὰ τὴν τοῦ χειμῶνος ὥραν εὐθὺ Ῥαβέννης ὁδῷ ἰέναι
after the of-the winter season straight Ravenna by-road to-go
διανοούμενοι.
intending

Σκλαβηνοὶ δέ, οἵ τε τὰ πρότερα ἐν γῇ τῇ βασιλέως 40.31
Sclaveni and the(-ones) both the former(-times) in land the of-(the)-emperor
γενόμενοι, ὥσπερ μοι ἔναγχος δεδιήγηται, καὶ ἄλλοι οὐ
having-come as by-me lately has-been-related and others not
πολλῷ ὕστερον Ἴστρον ποταμὸν διαβάντες καὶ τοῖς
much later (the)-Ister river having-crossed and with-the
προτέροις ἀναμιχθέντες, κατέθεον ἐν πολλῇ ἐξουσίᾳ τὴν
former(-ones) having-mingled overran in great license the
Ῥωμαίων ἀρχήν.
of-Romans empire
καί τινες μὲν ἐν ὑποψίᾳ εἶχον ὡς Τουτίλας τούτους δὴ 40.32
and some indeed in suspicion held that Totila these indeed
τοὺς βαρβάρους χρήμασι πολλοῖς ἀναπείσας ἐπιπέμψειε
the barbarians with-money much having-persuaded sent-upon
τοῖς ταύτῃ Ῥωμαίοις, ὅπως δὴ βασιλεῖ ἀδύνατα
the there Romans so-that indeed for-(the)-emperor impossible
εἴη τὸν πρὸς Γότθους πόλεμον ἀσχολίᾳ τῇ ἐς
it-might-be the against Goths war by-preoccupation the with
τούτους δὴ τοὺς βαρβάρους εὖ διοικήσασθαι.
these indeed the barbarians well to-manage
εἴτε δὲ Τουτίλᾳ χαριζόμενοι εἴτε ἄκλητοι Σκλαβηνοὶ 40.33
whether and to-Totila gratifying or uninvited Sclaveni
ἐνταῦθα ἦλθον οὐκ ἔχω εἰπεῖν. ἐς τρία μέντοι τέλη σφᾶς
there came not I-can say into three however divisions them
αὐτοὺς διελόντες οἱ βάρβαροι οὗτοι ἀνήκεστα ἐν Εὐρώπῃ
selves having-divided the barbarians these irreparable in Europe
τῇ ὅλῃ ἔργα εἰργάσαντο, οὐκ ἐξ ἐπιδρομῆς ληϊζόμενοι τὰ
the whole deeds did not by charge plundering the
ἐκείνῃ χωρία, ἀλλ᾽ ὥσπερ ἐν χώρᾳ οἰκείᾳ διαχειμάζοντες
there places but as in land own wintering
οὐδέν τε δεδιότες πολέμιον.
nothing both fearing hostile

40.34 ὕστερον δὲ Ἰουστινιανὸς βασιλεὺς στρατιὰν ἀξιολογωτάτην
later and Justinian emperor (an)-army most-notable
ἐπ᾽ αὐτοὺς ἔπεμψεν, ἧς ἄλλοι τε καὶ Κωνσταντιανὸς καὶ
against them sent of-which others both and Constantianus and
Ἀράτιος καὶ Ναζάρης ἡγοῦντο καὶ Ἰουστῖνος ὁ Γερμανοῦ
Aratius and Nazares led and Justinus the of-Germanus
παῖς καὶ Ἰωάννης, ὅνπερ ἐπίκλησιν ἐκάλουν Φαγᾶν.
son and John whom-very by-surname they-called Phagas
40.35 ἐπιστάτην δὲ Σχολαστικὸν ἐφ᾽ ἅπασι κατεστήσατο, τῶν
(as)-superintendent and Scholasticus over all he-appointed of-the
ἐν Παλατίῳ εὐνούχων ἕνα.
in (the)-Palatium eunuchs one
40.36 οὗτος ὁ στρατὸς μοῖραν τῶν βαρβάρων καταλαμβάνουσιν
this the army (a)-part of-the barbarians overtake
ἀμφὶ Ἀδριανούπολιν, ἥπερ ἐπὶ Θράκης ἐν μεσογείοις
about Adrianople which-very in Thrace in (the)-interior
κεῖται, πέντε ἡμερῶν ὁδὸν Βυζαντίου διέχουσα.
lies five of-days road from-Byzantium distant
40.37 καὶ πρόσω μὲν χωρεῖν οἱ βάρβαροι οὐκέτι εἶχον. λείαν
and forward indeed to-go the barbarians no-longer were-able booty
γὰρ ἐπήγοντο ἀνθρώπων τε καὶ ζῴων ἄλλων καὶ
for they-were-bringing of-men both and animals other and
πάντων χρημάτων ἀριθμοῦ κρείσσονα.
all money than-number greater
40.38 μένοντες δὲ αὐτοῦ ἠπείγοντο τοῖς πολεμίοις ἐς χεῖρας
remaining and there they-were-eager with-the enemies to hands
ἰέναι, τούτοις δὲ αὐτοῖς αἴσθησιν ὡς ἥκιστα παρεχόμενοι
to-go to-them and themselves perception as least giving
οἱ μὲν Σκλαβηνοὶ ἐστρατοπεδεύοντο ἐς τὸ ὄρος, ὃ
the indeed Sclaveni encamped on the mountain which
ταύτῃ ἀνέχει, Ῥωμαῖοι δὲ ἐν τῷ πεδίῳ οὐ πολλῷ ἄποθεν.
there rises Romans and in the plain not much away

χρόνου δὲ σφίσιν ἐν ταύτῃ τῇ προσεδρείᾳ τριβομένου 40.39
time and to-them in this the siege being-spent
συχνοῦ ἤσχαλλόν τε οἱ στρατιῶται καὶ δεινὰ
much were-vexed both the soldiers and terrible(-things)
ἐποιοῦντο, τοῖς στρατηγοῖς ἐπικαλοῦντες, ὅτι δὴ αὐτοὶ
made(-of-it) the generals charging that indeed they-themselves
τὰ ἐπιτήδεια ξύμπαντα εὔπορα ἔχοντες ἅτε τοῦ Ῥωμαίων
the provisions all plentiful having as of-the of-Romans
στρατοῦ ἄρχοντες τοὺς στρατιώτας περιορῶσι τῶν
army commanders the soldiers overlook of-the
ἀναγκαίων τῇ ἀπορίᾳ πιεζομένους καὶ οὐ βούλονται
necessities by-the want oppressed and not wish
τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι.
with-the enemies to hands to-go
οἷς δὴ οἱ στρατηγοὶ ἀναγκασθέντες τοῖς ἐναντίοις 40.40
by-whom indeed the generals compelled with-the opponents
ξυνέμιξαν. καὶ γίνεται μὲν καρτερὰ μάχη, ἡσσῶνται δὲ
engaged and arises indeed (a)-fierce battle are-defeated and
κατὰ κράτος Ῥωμαῖοι.
by force Romans
ἔνθα δὴ στρατιῶται μὲν πολλοί τε καὶ ἄριστοι 40.41
there indeed soldiers indeed many both and best
θνήσκουσιν, οἱ δὲ στρατηγοὶ παρ᾽ ὀλίγον ἐλθόντες ὑπὸ
die the and generals within little having-come under
τοῖς πολεμίοις γενέσθαι ξὺν τοῖς καταλοίποις μόλις
the enemies to-be with the remainder with-difficulty
διαφυγόντες ἐσώθησαν, ὥς πη ἑκάστῳ δυνατὰ γέγονε.
having-escaped were-saved as somehow for-each possible became

40.42 καὶ Κωνσταντιανοῦ δὲ τὸ σημεῖον οἱ βάρβαροι εἶλον, τοῦ
and of-Constantianus too the standard the barbarians took of-the
τε Ῥωμαίων στρατοῦ ἐς ὀλιγωρίαν τραπόμενοι πρόσω
both of-Romans army into contempt having-turned forward
ἐχώρουν.
went

40.43 καὶ χώραν τὴν Ἀστικὴν καλουμένην ἐληΐζοντο κατ᾽ ἐξουσίαν,
and (the)-land the Astic called plundered at liberty
ἀδῄωτον ἐκ παλαιοῦ οὖσαν, καὶ ἀπ᾽ αὐτοῦ λείαν αὐτοὺς
unravaged from of-old being and from it booty them
πολλήν τινα ἐνταῦθα εὑρεῖν ξυνηνέχθη· οὕτω δὲ χώραν
great some there to-find befell thus and land
πολλὴν ληϊζόμενοι ἄχρι ἐς τὰ μακρὰ τείχη ἀφίκοντο,
much plundering as-far to the long walls arrived
ἅπερ ὀλίγῳ πλέον ἢ ἡμέρας ὁδὸν Βυζαντίου διέχει.
which-very little more than of-(a)-day road from-Byzantium is-distant

40.44 οὐ πολλῷ δὲ ὕστερον ὁ Ῥωμαίων στρατὸς τούτοις δὴ
not much and later the of-Romans army these indeed
ἐπισπόμενοι τοῖς βαρβάροις, μοίρᾳ τε αὐτῶν ἐντυχόντες
following the barbarians with-(a)-part both of-them having-met
τινὶ καὶ ἐξαπιναίως ἐς χεῖρας ἐλθόντες ἐτρέψαντο.
some and suddenly to hands having-come routed(-them)

40.45 καὶ τῶν μὲν πολεμίων πολλοὺς ἔκτειναν, Ῥωμαίων δὲ
and of-the indeed enemies many killed of-Romans and
τῶν αἰχμαλώτων μέγα τι διεσώσαντο χρῆμα, τό τε
of-the captives great some saved quantity the both
Κωνσταντιανοῦ σημεῖον εὑρόντες ἀνείλοντο. οἱ δὲ λοιποὶ
of-Constantianus standard having-found took-up the and remaining
βάρβαροι ξὺν τῇ ἄλλῃ λείᾳ ἐπ᾽ οἴκου ἀπεκομίσθησαν.
barbarians with the other booty to home were-carried